Η ΘΕΙΑ ΚΑΙ ΙΕΡΑ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΕΛΕΥΘΕΡΙΟΥ.

ΨΑΛΛΟΜΕΝΗ

Κατὰ τὴν δεκάτην πέμπτην Δεκεμβρίου.

Ἐρανισθεῖσα μὲν ὑπὸ τοῦ Ἱεροσοφολογιωτάτου Κυρίου

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΠΑΡΙΟΥ

Ἐκδοθεῖσα δὲ καὶ αὖθις μετὰ ἐπιδιορθώσεων τινῶν,

ΥΠΟ

ΘΕΟΔΩΡΟΥ Γ. ΠΕΦΑΝΗ,

Κεφαλλῆνος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ
341

ΕΝ ΚΕΦΑΛΛΗΝΙΑ:

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ « Η ΑΝΑΤΟΛΗ ».

1863.

ΤΗι ΑΥΤΟΥ ΠΑΝΙΕΡΟΤΗΤΙ

ΤΩι ΜΗΤΡΟΠΟΛΙΤΗι ΚΕΡΚΥΡΑΣ

**ΑΘΑΝΑΣΙΩι**

ΤΩι ΕΠΑΞΙΩΣ ΚΟΣΜΟΥΝΤΙ ΤΟΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ

ΘΡΟΝΟΝ

*Σεβασμοῦ τεκμήριον*

*Ἀνατίθησιν*

Ὁ ἐκδότης.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# Πανιερώτατε Δέσποτα!

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

*Ἐν ὥρᾳ τῆς παλλιγγενεσίας τῆς πολυτλήμονος ἡμῶν πατρίδος ἐκδίδων τὴν ἱερὰν Ἀκολουθίαν τοῦ Ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου, νομίζω ἐμαυτὸν εὐτυχῆ ἀφιερῶν αὐτὴν τῇ Ὑμ. Παν. — Καί τοι μικρὸς καὶ ἀσήμαντος εἰμὶ, μολοντοῦτο γινώσκω ἵνα ἐκτιμῶ τὸν ποιμενάρχην ἐκεῖνον ὅστις ὑπῆρξε τῶν σχισματικῶν τὸ φίμωτρον, ὁ τύπος τῆς ἀρετῆς καὶ τὸ πηδάλιον ὅπερ διευθύνει τὸ σκάφος εἰς ἀσφαλῆ λιμένα.*

*Ἡ ἑλληνόπαις Κέρκυρα δικαίως ἐγκαυχᾶται ἕνεκεν τῆς Ὑμετ. Πανιερότητος· ὅθεν, κἀγὼ, βουλόμενος ἵνα ὑποδείξω Αὐτῇ τὸν ὃν αἰσθάνομαι Σεβασμὸν, ἀφιερῶ Αὐτῇ τὸ σμικρότατον τοῦτο δῶρον, εὔελπις διαμένων ὅτι Αὕτη θέλει μοὶ χορηγήσει τὴν ἄδειαν ἵνα ἐν ταπεινότητι διατελέσω Αὐτῆς*

*Εἰλικρινέστατον καὶ εὐπειθέστατον*

*ἐν Χριστῷ τέκνον*

ΘΕΟΔΩΡΟΣ Γ. ΠΕΦΑΝΗΣ.

Ἐν Κεφαλληνίᾳ.
Τῇ κγ.' Ἰανουαρίου ͵αωξγ.' ἔτ. ἐλ.

# ΜΗΝΙ ΔΕΚΕΜΒΡΙΩι ΙΕ'.

## ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΕΛΕΥΘΕΡΙΟΥ.

Ἐν τῷ Ἑσπερινῷ τὰ παρόντα Στιχηρὰ, εἰς ς'. Ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου Θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ Εὐανθίας καρπὸς, τῷ Θεῷ προσενήνεκται, ἀτελεῖ ἐν σώματι, Ἱεράρχης παντέλειος, ἀλλὰ καὶ μάρτυς φρικταῖς αἰκίσεσι. Διὸ στεφάνοις διπλοῖς κατέστεψε, τοῦτον ὁ Κύριος, εὖ σοι δοῦλε γνήσιε, αὐτῷ εἰπὼν, δεῦρο συγκοινώνει μοι τῆς Βασιλείας μου.

Ὄντως Ἀποστόλων γέγονας, ὥσπερ τῷ χρόνῳ ἐγγὺς, οὕτω μάκαρ ἐν βίῳ τε, καὶ τῇ πίστει ὅμοιος, τὰ τῆς πλάνης σεβάσματα, πανσόφοις λόγοις, καταστρεψάμενος, καὶ εὐσεβείας στύλος γενόμενος· ὢ σοὶ κραυγάζομεν, χαίροις Ἐλευθέριε, καὶ νῦν ἡμᾶς, ἕδρασον πρεσβείαις σου. ἐπὶ τῷ φόβῳ Χριστοῦ.

Ὅλον τῆς σαρκὸς τὸ φρόνημα, καθυποτάξας τῷ νῷ, τῷ Χριστῷ καλλιέρημα, σεαυτὸν προσήγαγες, καὶ ἀμώμητον σφάγιον, φρικταῖς βασάνοις, ἀθλήσας ἔνδοξε, καὶ νῦν τῷ θρόνῳ, αὐτοῦ παρίστασαι· τοὺς δεομένους σου, πάσης περιστάσεως ἐλευθερῶν· καὶ γὰρ ἐλευθέριον, κλῆσιν ἐπλούτησας.

Ἕτερα, ἦχος δ'. Ἔδωκας σημείωσιν.

Σκεῦος ἱερώτατον, Πνεύματος θείου γεγένησαι, τὴν ψυχὴν καθηράμενος, παθῶν ἱερώτατε, ἔνθα χρίσμα θεῖον, ἅγιον ἐδέξω, Ἀρχιεράρχης γεγονὼς, καὶ ποδηγέτης λαοῦ θεόφρονος, καὶ μάρτυς ἀπαράτρωτος, τοῦ δι' ἡμᾶς πάθη φέροντος, καὶ ἀπάθειαν βλύσαντος, ἀθλητὰ Ἐλευθέριε.

Σώματος ἠλόγησας, αἰκιζομένου ταῖς μάστιξι, καὶ πυρὶ προσεγγίζοντος. Τὸν νοῦν γὰρ προσήλωσας, ἀνεικάστῳ πόθῳ, τῷ ὡραιοτάτῳ, κάλλει τοῦ θείου ἐραστοῦ, οὗ τῷ γλυκεῖ ἐτρώθης ἔρωτι, Μαρτύρων ἐγκαλλώπισμα, Ἀρχιερέων ἀγλάϊσμα, ἀθλητὰ Ἐλευθέριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Καλῶς τὸν ἀγῶνά σε, τεθεαμένη τελέσασα, ἡ καλῶς σε κυήσασα, τὸν ἴσον ποθήσασα, διανῦσαι δρόμον, σοὶ περιπλακεῖσα, μέσον τοῦ σκάμματος Σοφὲ, καθάπερ δάμαλις ἀποσφάττεται· μεθ' ἧς ἐκδυσωποῦμέν σε, ὑπὲρ ἡμῶν Ἐλευθέριε, τὸν Σωτῆρα καὶ Κύριον, ἐκδυσώπει πανόλβιε.

Δόξα, ἦχος πλ. β'.

Ἱεραρχῶν τὴν καλλονὴν, καὶ Ἀθλοφόρων κλέος, δογμάτων ἀληθείας, καὶ Ἐκκλησίας προστάτην εἰδότες σε, συνελθόντες Ἐλευθέριε, χρεωστικῶς εὐφημοῦμεν σε λέγοντες. Χαίροις ὁ τῆς Ἠπείρου ποιμὴν, καὶ ἄδυτος φωστὴρ, καὶ κράτος, καὶ στερέωμα· Χαίροις Χριστὸν ὃς ἠγάπησας, καὶ τὰ τῶν τυράννων φόβητρα, μυκτηρίσας ὡς παίγνια· Χαίροις αἰκιζομένου ποικίλως ἐν βασάνοις, τοῦ σοῦ μὴ φεισάμενος σώματος, ὡς ἀλλοτρίου. Διὸ παμμάκαρ βοῶμέν σοι, ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν τὸν Θεὸν, ἀδιαλείπτως πρόστηθι, τῶν πιστῶς ἐπιτελούντων, τὴν σεβάσμιον, καὶ πανένδοξον μνήμην σου.

Καὶ νῦν, ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζου, ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες μαρτυρεῖτε θαῦμα τὸ φρικτόν· καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσαγάγετε· ὅτι ὤφθη Κύριος ἐκ Παρθένου μητρὸς, ὅνπερ καὶ κύψασα, δουλικῶς ἡ μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης; ὁ λυτρωτής μου καὶ Θεός.

Εἴσοδος· Φῶς ἱλαρὸν, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι Φρόνησις Ἀνθρώποις, καὶ ἡλικία Γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ Ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ



δὲ Λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει Ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν Ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ Πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς Ἐκλεκτοῖς αὐτοῦ.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγὼ εἰμί· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγὼ εἰμὶ ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεὸς ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμὶ, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Εἰς τὴν λιτήν, ἦχος ά.

Ὁ τῶν φρικτῶν καὶ νεανικῶν σου ἀγώνων, Ἐλευθέριε ἀοίδιμε. Σὺ γὰρ ἐπὶ κραββάτου ἠνθρακωμένου ἁπλωθεὶς, καὶ ἰχθύος δίκην ἐν τηγάνῳ βληθεὶς, καὶ πάλιν ἐν χαλκῇ κατακλεισθεὶς καμίνῳ, τοῦ παφλάζοντος πάντοθεν πυρὸς, εὐψυχοτάτῳ λογισμῷ ὑπήνεγκας τὴν παμφάγον δύναμιν. Ὅθεν τοῦ Θεοῦ σε δοξάζοντος, δι' ὃν ταῦτα ἔπασχες, ἀβλαβὴς ἐν ἅπασιν, ὡς οἱ πάλαι Παῖδες διέμεινας. Ἐνήργει γὰρ Χριστὸς ὁ Θεὸς ἐν σοὶ, καὶ διὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σοῦ τὰ παράδοξα, πρὸς σωτηρίαν τῶν ἀνθρώπων, ὡς μόνος φιλάνθρωπος.

Ἐξ ἐλευθέρας ἀληθῶς, τῆς ἄνω γενόμενος Ἱερουσαλὴμ Θεόφρον, ἐκεῖθεν πρακτικῶς ἐπλούτησας, σὺν τῇ κλήσει, καὶ τρόπον ἐλεύθερον. Ταύτης οὖν καὶ ἡμᾶς γενέσθαι, ἐκτενῶς τὸν Χριστὸν δυσώπει, Ἀθλητὰ ἱερώτατε.

ἦχος πλ. δ'.

Τῆς Ἱεραρχίας σου ὅσιε Πάτερ, τὴν Στολὴν ἐφοίνιξας ταῖς ῥοαῖς τῶν Αἱμάτων σου. Ἐν μέσῳ δὲ τοῦ Σταδίου ἀνδρικῶς τελειωθέντα ἰδοῦσά σε ἐπιπεσοῦσα ἠσπάζετο τὸ γλυκὺ τέκνον, ἡ καλῶς γεννησαμένη καὶ θρεψαμένη σε. Διὸ καὶ τμηθεῖσα τῷ ξίφει, εἰς οὐρανίους θαλάμους μετὰ σοῦ συνεισῆλθεν. Ὢ μακαρίας Μητρός· ὢ Μαστῶν ἱερῶν, οὓς ἐθήλασας μάκαρ Ἐλευθέριε, καὶ τῆς φύσεως τὸν Πλάστην ἐπέγνως. Σὺν αὐτῇ οὖν πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ἦχος πλ. β'.

Ἱεραρχίας Κανὼν καὶ ἀθλήσεως Τύπος, τοῖς πᾶσιν ἀνεδείχθης, Ἱερομάρτυς Ἐλευθέριε Καὶ γὰρ τὴν Ἐκκλησίαν Χριστοῦ, πράξεσι καὶ λόγοις ἀποστολικῶς ἐποίμανας, ἱερουργήσας ἀόκνως τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον. Συλληφθεὶς δὲ τοῖς μιαιφόνοις, ἐν αὐτῷ τῷ διδάσκειν, ὡς Πρόβατον ἐπὶ σφαγὴν ἑλκόμενος, χριστομιμήτως ἠκολούθης, οὐκ ἐρίζων οὐδὲ κραυγάζων· εὐχόμενος δὲ μᾶλλον ὑπὲρ αὐτῶν, τοῦ λαβεῖν ἐπίγνωσιν, καὶ σῶσαι τὰς ψυχὰς αὐτῶν.

Δόξα ἦχος πλ. δ'.

Φερωνύμως ἐκλήθης Ἐλευθέριος πανεύφημε. Τοὺς γὰρ δεσμοῖς ἀγνοίας πεπεδημένους. καὶ σκότῳ πλάνης τῆς εἰδωλομανίας ἀφρόνως προσανέχονται συμπαθείᾳ γνώμης ἐλευθερίας ἠξίους. Διὸ καὶ ταῖς Προσευχαῖς σου, τὸν στρατηλάτην Φίληκα, καὶ τὸν ἔπαρχον Κορέμμονα, τὸν τοῦ δεινοῦ χαλκουργήματος ἐφευρετὴν, σὺν μυρίοις ὅσοις, τῶν βρόχων ἐξαρπάσας, τῶν πονηρῶν Δαιμόνων, συνάθλους καὶ Μάρτυρας, τῷ Βασιλεῖ προέπεμψας τῶν ἁπάντων. Καὶ νῦν ἡμῖν δώρησαι πρεσβείαις σου, Ἁμαρτιῶν τὴν λύσιν, καὶ τὸ μέγα ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Καὶ νῦν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον, στιχηρὰ Προσόμια.

ἦχος πλ. ά. Χαίροις Ἀσκητιτῶν ἀληθῶς·

Δεῦτε πνευματικῶν Ἀδελφοί, ἐπαπολαύσωμεν Χαρίτων ἐτήσιον, τὴν Μνήμην Ἐλευθερίου ἐπιτελοῦντες πιστῶς, τοῦ λαμπροῦ Ποιμένος, καὶ ἐν Μάρτυσι. Καὶ γὰρ ἀμφοτέροθεν, ἀπαστράπτει ὡς Ἥλιος Ἱεραρχίᾳ καὶ Ἀθλήσει κοσμούμενος, ζόφον ἅπαντα, τῶν παθῶν καὶ τῶν θλίψεων, πάντας ἐπισκεπτόμενος, ἐλαύνει ἑκάστοτε καὶ ταῖς κυούσαις ῥᾳστώνην, ἐπὶ τὸ τίκτειν χαρίζεται, Χριστοῦ ὢν θεράπων, τοῦ τὰ ἔνδοξα ποιοῦντος, καὶ τὰ ἐξαίσια.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Χαίροις Αὐλωνιτῶν ὁ Ποιμὴν, ὁ κατὰ Παῦλον, διαπρέψας τοῖς τρόποις σου, καὶ πάσῃ τῇ ὑφηλίῳ, μέγας φωστὴρ ἐκ Δυσμῶν, νοητῶς ἐκλάμψας Ἐλευθέριε· Χριστοῦ γὰρ τῷ ἔρωτι, σὺ τρωθεὶς διὰ πίστεως· τοῖς μὲν εἰδώλοις, νεῖμαι σέβας ἑλκόμενος, οὐ κατέπτηξας, τὰ ὁρώμενα δείματα· ὕπτιος δὲ ἁπλούμενος, ἀνθράκων ἐς κράββατον· καὶ ἐν τηγάνῳ δὲ αὖθις, διὰ Χριστὸν ἐξαπτούμενος, τροφὰς ἐλογίζου, καὶ τὸ πῦρ καὶ τὰς στρεβλώσεις, καὶ πᾶσαν βάσανον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος.

Ὄντως ὁ θαυμασίων Θεὸς, ἐθαυμαστώθη καὶ ἐν σοὶ Ἐλευθέριε· ὁ Φίληξ θηρὸς γὰρ δίκην, ἀποσταλεὶς ἐπὶ σὲ, σοὶ προσβλέψας μόνον, πρὸς σοῦ γέγονε. Φρικτὸν δὲ ὁ Ἔπαρχος, τῷ Τυράννῳ μηχάνημα, ὑποθέμενος, αἴφνης ὤφθη σὸν θήραμα. καὶ τὸν κλίβανον, εἰσιὼν ἀνεβόα σοι· Ἅγιε σὺ ἐνίσχυσον, κᾀμὲ ὡς τὸν Φίληκα, ἵνα φλογὸς τῆς προσκαίρου, καταφρονήσας ὁ δείλαιος, τὸ πῦρ τῆς Γεέννης, ὑπεκφύγω σαῖς πρεσβείαις, ταῖς πρὸς τὸν Κύριον.

Δόξα, ἦχος πλ. δ'.

Εἰς ὄρος ὑψηλὸν μεταναστὰς θείᾳ δυνάμει, τὴν τῶν ζώων ἀγριότητα ἐτιθάσσευσας τῷ λόγῳ σου· καὶ νῦν εἰς τὸ ὕψος τῶν οὐρανῶν μετὰ τῶν Ἀγγέλων συνδιαιτώμενος, καταπράϋνον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς

τὸν θυμὸν τῆς θείας δικαιοσύνης. Ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν, καὶ πῶς ἐκφευξώμεθα τὴν ἔνδικον μισθαποδοσίαν τῆς παραβάσεως! γενοῦ μεσίτης εἰς Θεὸν, ἵλεων ἡμῖν παρεχόμενος τὸν Βασιλέα τῶν ἁπάντων, καὶ σῶζε ταῖς πρεσβείαις σου, Ἱερομάρτυς Ἐλευθέριε, τοὺς ἁπανταχοῦ τελοῦντας τὴν μνήμην σου, καὶ τοὺς ἐν τῇ νήσῳ Νάξῳ κατὰ τὸν σεπτὸν Ναὸν ἐξαιρέτως δοξολογοῦντας σε.

*Καὶ νῦν*, ἦχος ὁ αὐτός.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ Φάτνη, τὸ Σπήλαιον δεχέσθω, ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε, καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ' ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. Διὸ Ἀδὰμ ἀνανεοῦται, σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

Τὸ ἀπολυτίκιον.

Ἦχος πλ. ά. Τὸν Συνάναρχον λόγον.

Ἱερέων ποδήρει κατακοσμούμενος, καὶ αἱμάτων τοῖς ῥείθροις ἐπισταζόμενος, τῷ Δεσπότῃ σου Χριστῷ μάκαρ ἀνέδραμες, Ἐλευθέριε σοφὲ, καθαιρέτα τοῦ Σατᾶν· Διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν, Θεοτοκίον. *Χαῖρε πύλη Κυρίου.*

Ἐν τῷ Ὄρθρῳ, Καθίσματα· Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Σοῦ τὸν Σωτῆρα ὁλικῶς ἀγαπήσας, τὸν ἐν τῷ ξύλῳ διὰ σὲ τανυθέντα, τοὺς τυραννοῦντας ἤνεγκας στεῤῥὲ καρτερῶς, πλάνην τὴν κακέσπερον, νουνεχῶς ἀποκλίνας. Ὅθεν Ἐλευθέριε, καὶ αὐτός σε δοξάζει, ἐν Οὐρανοῖς ἀξίως, καὶ ἐν γῇ. Διὸ καὶ σκέποις, τοὺς σὲ ἑορτάζοντας.

Δόξα, τὸ αὐτό. καὶ νῦν, Θεοτοκίον.

Οὐ σιωπήσωμεν ἀεὶ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ. Σοὺς γὰρ Δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ἕτερον ἦχος ά. τὸν Τάφον σου Σωτήρ.

Ἐκπλήττει πάντα νοῦν, τῶν Μαρτύρων τὸ Θαῦμα· πῶς ἴσχυσεν ἡ σάρξ, ἐνεγκεῖν φρικτὰ πάθη. Ἐν



πᾶσι δὲ διέπρεψας, σὺ στεῤῥὲ ὥς τις ἄσαρκος Ἐλευθέριε· ἰσχὺν λαβὼν ἀπὸ ὕψους, κατευμεγεθεῖν, τῶν δριμυτάτων βασάνων· Διό σε δοξάζομεν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν Σωτηρία, καὶ Βοήθεια, καὶ κραταιὰ Προστασία, καὶ σῴζεις τοὺς Δούλους σου.

Ἕτερον, μετὰ τὸν Πολυέλεον.

Θείας πίστεως.

Πᾶσαν εὔφρανας, Ἱερωσύνῃ, καὶ σῷ αἵματι, τὴν Ἐκκλησίαν. Ἐν γὰρ τῇ Ῥώμῃ τὸ Χρίσμα σοι, δέδοται καὶ τὸ σὸν αἷμα ἐν ταύτῃ ἐξέχεας· *Παύλου μέτοχε*, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, τὸ αὐτό. καὶ νῦν, Θεοτοκίον.

Θείας φύσεως, οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος, ἐν τῇ Γαστρί σου· ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας Πανάμωμε, μόνος Κύριος. Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, κτλ·

Στίχος· Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

τὸ, πᾶσα πνοή. Εὐαγγέλιον, εἰς Ἱεράρχην ὁ ν'. ψαλμός.

Δόξα, ἦχος β'. ταῖς τοῦ Ἱεράρχου. καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Εἶτα στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα Ἔλεός σου. Ἰδιόμελον.

ζήτει ἐν τῇ λιτῇ οἷον βούλει. Σῶσον ὁ Θεὸς τὸν Λαόν σου.

Τὸ, Κύριε ἐλέησον ιβ'. Ἐλέει καὶ οἰκτιρμοῖς.

Εἶτα οἱ κανόνες τῆς Θεοτόκου, εἰς ς'. καὶ τοῦ Ἁγίου, εἰς η'.

Ὁ Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ά. ἦχος ά. ὁ Εἱρμός.

Ὠδὴν ἐπινίκιον, ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραήλ· ὅτι δεδόξασται. Δίς.

Σοφίας τὴν ἄβυσσον, ἡ τετοκυῖα, σταγόνας Σοφίας μοι, Πηγὴ χαριτόβρυτε, σεμνὴ κατάπεμψον, ὑμνολογῆσαι τῶν Χαρίτων σου τὸ πέλαγος.

ΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Ὑμνῶσε πανύμνητε, ἣν ἀνυμνοῦσιν, Ἀγγέλων τὰ τάγματα, ὡς Θεὸν κυήσασαν, τὸν ὑπερύμνητον· ὃν πᾶσα κτίσις ἀνυμνεῖ· ὅτι δεδόξασται·

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς. Θεῖον Ἐλευθέριον τιμάω Πάτερ.

ἦχος πλ. β'. Ὡς ἐν Ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Θρόνῳ τῆς δόξης Κυρίου παρεστηκὼς, σὺν Ἀγγέλων τάγμασιν, Ἐλευθέριε σοφὲ, τοὺς ὑμνοῦντας πόθῳ σε ἀεὶ, ἐλευθέρωσον παθῶν, ταῖς ἱκεσίαις σου.

Ἐκλελεγμένος ἐκ βρέφους σὺ τῷ Θεῷ, ἀνετέθης ἔνδοξε, ὥσπερ πάλαι Σαμουὴλ, καὶ τῷ θείῳ Πνεύματι χρισθεὶς, ὡς σοφὸς Ἀρχιερεὺς, Λαὸν ἐποίμανας.

Ἱερουργὸς Μυστηρίων τῶν τοῦ Χριστοῦ, γεγονὼς ἐλάμπρυνας, τὴν Στολὴν τὴν ἱερὰν, Μαρτυρίου Αἵματι σοφὲ, ἐν Σταδίῳ καρτερῶς ἀγωνισάμενος.

Θεοτοκίον.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν, Θεὸς Λόγος Πάναγνε, ἐξ ἀσπόρου γαστρὸς, ὑπὲρ νοῦν σεσάρκωται διὸ, Θεοτόκον οἱ πιστοὶ ἀεὶ δοξάζομεν.

Ὠδὴ γ.' ὁ Εἱρμός·

Στερεωθήτω ἡ Καρδία μου, τῇ Ἐλπίδι Χριστὲ τῶν Ἀγαθῶν. Ἵνα ἀπαύστως μετ' ᾠδῆς, τὸν ὕμνον ἀνακράζωσοι. Οὐκ ἔστιν ἅγιος καὶ γὰρ, πλὴν σου μόνε φιλάνθρωπε, Δίς.

Ὁ Οὐρανὸς ὁ καθαρώτατος, τὸ τοῦ Βασιλέως ἀνάκτορον, ὁ χαριτόπνους ἀληθῶς, καὶ εὐώδης Παράδεισος, ἡ ἐλπὶς Χριστιανῶν, ἡ Θεοτόκος ὑμνείσθω μοι.

Λόγῳ τὸν Λόγον ἀπεκύησας, τὸν τῷ λόγῳ πᾶσαν πρὸς ὕπαρξιν, παραγαγόντα λογικὴν, φύσιν ἅμα καὶ ἄλογον ἀλογίας ἐκλυτρούμενον, βροτοὺς Παντευλόγητε.

Τοῦ Ἁγίου. Οὐκ ἔστιν Ἅγιος ὡς Σύ.

Νόος στεῤῥότητι Σοφὲ, ὁπλισάμενος χαίρων, τὴν ὁδὸν διικνεύεις. τοῦ Μαρτυρίου σαυτὸν, ἐθελουσίως προδοὺς, τοῖς ζητοῦσι, Μάρτυς Ἱερώτατε.

Ἐκ τοῦ Θεοῦ Πνεῦμα λαβὼν, τῆς Σοφίας τὸν πλοῦτον μιμητὴς ἀνεδείχθης, τῶν Ἀποστόλων σοφὲ, σαγήνῃ μαρτυρικῇ, σαγηνεύων, Λαοὺς πρὸς Εὐσέβειαν.



Λαμπρύνας Θείαις Ἀρεταῖς, τὴν Ἀρχιερωσύνην, λαμπροτέραν εἰργάσω, τῇ προφυρίδι τῶν σῶν, Αἱμάτων καρτερικῶς ἐναθλήσας, Μάρτυς Ἐλευθέριε.

Θεοτοκίον.

Ἐκπλήττει νοῦν καὶ ἀκοὴν, τὸ Μυστήριον ὄντως, τῆς λοχείας σου Κόρη. Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα, μένεις. Ἀειπάρθενος.

Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἐλεύθερον τὸν νοῦν, ἐκ παθῶν κεκτημένος, ἐγένου τοῦ Θεοῦ, γνησιώτατος Δοῦλος, καὶ πλάνης ἠλευθέρωσας, τοὺς καλῶς σοι πειθήσαντας. Ἐναθλήσας δὲ, ὡς Ἱερεύς τε καὶ Μάρτυς, Ἐλευθέριε, διπλοῦν ἐδέξω τὸ σέφος πρεσβεύων σωθῆναι ἡμᾶς.

Δόξα, τὸ αὐτό· καὶ νῦν, Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου Δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς Ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, Ἁμαρτωλῶν Σωτηρία, καὶ Βοήθεια, καὶ κραταιὰ Προστασία, καὶ σώζεις τοὺς Δούλους σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός

Ἐν Πνεύματι προβλέπων, Προφῆτα Ἀββακοὺμ, τὴν τοῦ λόγου σάρκωσιν, ἐκήρυττες βοῶν. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθείσῃ. Δόξα τῇ δυνάμει σου Κύριε. Δίς.

Θανάτου μὲν αἰτία, ἡ Εὔα τοῖς βροτοῖς, συμβουλίᾳ Ὄφεως, γεγένηται ἁγνή. Σὺ δὲ Παρθένε τεκοῦσα λόγῳ τὸν Λόγον, Ἀθανασίας καὶ Ζωῆς Πρόξενος ὤφθης. Ὅθεν ἐπαξίως ὑμνοῦμέν σε.

Ἐν Πνεύματι Προφῆται, προεῖδόν σε Ἁγνή. Ὄρος Πύλην Τράπεζαν, ἁγίαν Κιβωτὸν, Λυχνίαν Θρόνον ζωῆς, στάμνον καὶ Κλίνην. Θεοῦ Μητέρα ἐν συμβόλοις σε δηλοῦντες, ὧν ἡμεῖς ὁρῶμεν τὴν ἔκβασιν.

Τοῦ Ἁγίου. Χριστός μου δύναμις.

Ὑπῆρξε πρότερον, κατακαυχώμενος, ὁ πανώλεθρος Δράκων, ἀλλ' ἀναιδὴς, ἤλεγκται ὁ ἄθλιος, τοῦ Ἱεράρχου τοῖς ποσὶν, ἐν σταδίῳ συμπατούμενος.

Θωρακισάμενος, Σταυροῦ τὴν δύναμιν, Ἱερώτατε Μάρτυς ὡς νικητὴν ἄριστος εἰσέδραμες, ἐν πυριφλέκτῳ Κραββάτῳ, ὡς ἐν δρόσῳ ἀγαλλόμενος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐπὶ τοῦ σκάμματος, ἑστὼς διήλεγξας, τοῦ Τυράννου τὸ Θράσος εἰδωλικῶν, Μάρτυς τροπωσάμενος, Ἱερομάρτυς ἀθλητὰ, ἀνδρικῶς ἀγωνιζόμενος.

Θεοτοκίον.

Ῥημάτων ἄκουσον, ἐμῆς δεήσεως, Παναγία Παρθένε· σὺ γὰρ ἐλπὶς πάντων καὶ βοήθεια, τῶν ἐν ποικίλοις πειρασμοῖς, ἐκτενῶς προσκαλουμένων σε.

Ὠδὴ έ. Ὁ Εἱρμός.

Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον, φῶς τὸ ἀπρόσιτον τοῖς ὀρθρίζουσιν, ἐπὶ τὰ κρίμματα τῶν ἐντολῶν σου, Δέσποτα φιλάνθρωπε Χριστὲ ὁ Θεὸς ἡμῶν. Δίς.

Ὡς Κιβωτὸς σεμνὴ Ἁγιάσματος, καὶ ὡς πυρίμορφος Θρόνος ἅγιος, καὶ ὡς Παλάτιον ἡγιασμένον, Δέσποινα ἐχώρησας, Θεὸν παντοκράτορα.

Μήτηρ ἀπειράνδρως ἐν Παρθένοις, σὺ αὖθις Παρθένος δὲ ἐν Μητράσι μόνη Πάναγνε ἀῤῥήτως ὤφθης. Θεὸν γὰρ ἐγέννησας, τὸν φύσεις ἀμείβοντα.

Τοῦ Ἁγίου. Τῷ Θείῳ φέγγει σου Ἀγαθέ.

Ἰδὼν τὸ εὔτονον ὁ Χριστὸς, καὶ ἀκαταγώνιστον ὄντως, τῆς καρτερίας σου Πάνσοφε, σοὶ ὡς τῷ Προφήτῃ τροφὴν οὐράνιον, ἐκπέμπει δι' ὀρνέου, σὲ ἐνισχύουσαν.

Οὐ δειλιάσασα ἡ σεμνὴ, καὶ ἱερωτάτη σου Μήτηρ, τὴν τῶν Τυράννων ὠμότητα, σοῦ περιχυθεῖσα Μάρτυς τοῖς μέλεσι, τῷ ξίφει τελειοῦται, ὡς συναθλοῦσά σοι.

Νικήσας πᾶσαν τοῦ δυσμενοῦς, τὴν κεκινημένην κατὰ σοῦ Μάρτυς παράταξιν, ἔφραξας στόματα λεόντων εἰς ἡμερότητα, αὐτῶν μεταποιήσας, τὴν ἀγριότητα.

Θεοτοκίον.

Ἰδοὺ Μητέρα σε τοῦ Θεοῦ, πάντες οἱ Πιστοὶ θεοπρεπῶς, ὁμολογοῦντες Θεόνυμφε, λύσιν τῶν πταισμάτων καθικετεύομεν, παράσχου τῷ Λαῷ σου μόνη Πανύμνητε.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Τὸν Προφήτην Ἰωνᾶν ἐκμιμούμενος βοῶ, τὴν Ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, Σωτὴρ τοῦ Κόσμου, κράζοντα δόξα σοι. Δίς.

Προστασία τῶν Πιστῶν, ἀθυμούντων Χαρμονὴ, εὐφροσύνης καὶ χαρᾶς, ἔμπλησον πνευματικῆς, τοὺς Δούλους σου, τοὺς πεποιθότας τῇ Προστασίᾳ σου.



Οὐρανὸς ὁ λογικὸς, ὁ Ναὸς ὁ καθαρὸς, ἡ ἁγία Κιβωτὸς, ὁ τερπνότατος Θεοῦ, Παράδεισος, ἐν ᾧ τὸ ξύλον ζωῆς ὑμνείσθω μοι.

Τοῦ Ἁγίου. Τοῦ βίου τὴν θάλασσαν.

Ἐδείχθης πανάριστος καὶ στεῤῥὸς ἀγωνιστὴς, Ἱερομάρτυς ἔνδοξε, οὐ δειλιῶν βασάνων τὰς προσβολὰς, τὸ πῦρ δὲ ὑπεῖξέ σοι, καὶ σιδήρου ὀξύτης νῶτα δέδωκεν.

Ῥοαῖς τῶν Αἱμάτων σου, Ἐλευθέριε Σοφὲ, εἰδωλικὴν κατέκλυσας, δεισιδαίμονα πλάνην τῶν διωκτῶν, τὴν νίκην ἀράμενος, κατὰ τοῦ ἀρχεκάκου πολεμήτορος.

Ἡ γῆ μὲν τοῖς αἵμασιν, ἐφοινίσσετο τοῖς σοῖς, ὁ δὲ ἀὴρ ἡγίασται, τῷ καθαρῷ σου πνεύματι ἀληθῶς, πρὸς λῆξιν οὐράνιον, ἀνιόντι παμμάκαρ Ἐλευθέριε.

Θεοτοκίον.

Ἡ πάναγνος Δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν Κυβερνήτην Κύριον, τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν, κατεύνασον τάραχον, καὶ γαλήνην, παράσχου τῇ καρδίᾳ μου.

Κοντάκιον· ἦχος β'. Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους Κήρυκας.

Ὡς καλλονὴν τῶν Ἱερέων Ὅσιε, καὶ προτροπὴν τῶν Ἀθλοφόρων ἅπαντες, εὐφημοῦμεν καὶ αἰτοῦμέν σε Ἱερομάρτυς Ἐλευθέριε, τοὺς πόθῳ σου τὴν μνήμην ἑορτάζοντας, κινδύνων πολυτρόπων ἐλευθέρωσον, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ἔπιδε εὔσπλαγχνε ζωοδότα, ὡς φιλάνθρωπος μόνος καὶ οἰκτίρμων Θεὸς, τὴν τῆς ψυχῆς μου σκοτόμαιναν, καὶ πανσθενεῖ δεξιᾷ σου Λόγε, τῶν παθῶν ἐλευθέρωσον τῆς αἰσχύνης, ὅπως τὸν σὸν Ἱεράρχην ὑμνήσω Ἐλευθέριον. Αὐτὸς γὰρ ὄντως ἐκ μήτρας ἐγνωρίσθη σοι, καὶ καθηγίασται, καὶ ἀνετέθη σοι ὡς Σαμουὴλ ἀπὸ μητρὸς ἱερᾶς σοι τῷ κτίσαντι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ιέ. Ἄθλησις τοῦ Ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου.

Ἐλευθέριος ὢς ἀδουλόνους φύσει.
Σπάθας θεωρῶν, οὐκ ἐδουλοῦτο πλάνῃ.
Θεῖον Ἐλευθέριον δεκάτῃ πέφνε φάσγανον πέμπτῃ.

Ἐπὶ τῆς βασιλείας Ἀδριανοῦ τοῦ εἰδωλολάτρου, διέλαμπεν ὡς

ἀστὴρ φωταυγὴς καὶ ὁ θαυμαστὸς Ἐλευθέριος, γεννηθεὶς ἐν τῇ περιβλέπτῳ Ῥώμῃ, ὑπὸ γονέων πλουσίων καὶ λαμπρῶν οὐ μόνον κατὰ τὸ γένος, ἀλλὰ καὶ κατὰ τὴν πίστιν καὶ ἀρετήν. Τελευτήσαντος τοῦ πατρὸς αὐτοῦ, τοῦ λαβόντος ἐκ τρίτου τὸ ἀξίωμα τῆς Ὑπατίας, ἡ μήτηρ αὐτοῦ Εὐανθία, — διδαχθεῖσα τὴν Ὀρθοδοξίαν ὑπὸ τοῦ Ἀποστόλου Παύλου — παρέδωκε πρὸς τὸν τότε Ἀρχιεπίσκοπον τῆς Ῥώμης, Ἀνίκητον, τὸν υἱὸν αὐτῆς, ἄγοντα τότε τὴν παιδικὴν αὐτοῦ ἡλικίαν ἵνα διδαχθῇ τὰ ἱερὰ γράμματα. Ὁ Ἀρχιεπίσκοπος, θεωρῶν τὸ ἦθος τοῦ νέου, τὴν εὐταξίαν, τὴν κοσμιότητα καὶ ἁπάσας τὰς χαρακτηριζούσας αὐτὸν ἀρετὰς, κατέστησε κληρικὸν τῆς Μεγάλης Ἐκκλησίας· ἀκολούθως δὲ, ὅτε ἔφθασεν εἰς δεκαπενταετῆ ἡλικίαν χειροτονεῖ αὐτὸν Ἱεροδιάκονον· μετὰ δὲ ταῦτα προβιβάζει, δεκαοκταετῆ, εἰς τὸν βαθμὸν τοῦ Ἱερέως, καὶ τέλος, εἰκοσαετῆ, εἰς τὸν ὑψηλὸν τοῦ Ἀρχιερέως βαθμόν.

Ὁ ἐχθρὸς ὅμως τῆς ἀληθείας διάβολος, θεωρῶν τὴν εἰς τὸν ὑψηλὸν τοῦτον βαθμὸν ταχεῖαν ἀνάβασιν τοῦ Ἐλευθερίου, πάντα λίθον κινεῖ ἵνα διεγείρῃ κατ᾽ αὐτοῦ τοὺς κατοίκους τοῦ Αὐλῶνος, παρ᾽ οἷς ἀνυψώθη Ἀρχιερεὺς, καὶ ἐντεῦθεν μεγίστη διασπείρεται ἀπορία τινος ἕνεκεν εἰς τοιαύτην νεαρὰν ἡλικίαν ἀνεβιβάσθη, ὁ Ἐλευθέριος, Ἀρχιερεὺς αὐτῶν· οἱ γινώσκοντες ὅμως τὰς μεγάλας τοῦ νέου ἀρετὰς, τὴν φρόνησιν ἣν εἶχεν, καὶ τὴν ἱκανότητα αὐτοῦ μεθ᾽ ἧς ἠδύνατο ἵνα διδάξῃ καὶ παρακινήσῃ τοὺς ἀσεβεῖς εἰς τὴν εὐθεῖαν ὁδὸν τῆς Ὀρθοδοξίας, ἀπεδέχθησαν εὐμενῶς τὴν ἐκλογὴν τοιούτου ποιμενάρχου δικαιολογοῦντες, ἀπέναντι τῶν ἐναντίων, τὴν ταχεῖαν αὐτοῦ ἀνύψωσιν. Αἰσχυνθεὶς ἕνεκεν τούτου ὁ ἐχθρὸς τῆς ἀληθείας, καὶ ἐπιθυμῶν ἵνα σβέσῃ τὸν λύχνον τοῦτον τὸν τεθέντα πρὸς φωτισμὸν τῶν κατοίκων τοῦ Αὐλῶνος, ἄλλας ἐπινοεῖ πλεκτάνας· ἀλλ᾽ ὁ λύχνος πλέον ἐτέθη ἐπὶ τὴν λυχνίαν ἵνα, κατὰ τὸ ἀψευδὲς τοῦ Εὐαγγελίου λόγιον, φωτίσῃ τοὺς ἐσκοτισμένους ὁδηγῶν αὐτοὺς εἰς τὴν ἀλήθειαν, καθὼς καὶ ἐγένετο· διότι τῇ ἀναβιβάσει αὐτοῦ εἰς τὸν ὑψηλὸν τοῦ Ἀρχιεράρχου βαθμὸν, οὐκ ὀλίγοι εἰδωλολάτραι, παρακινηθέντες ἐκ τῆς γλυκύτητος καὶ σοφίας τῶν λόγων αὐτοῦ, ἐπίστευσαν εἰς τὸν ἀληθῆ Θεὸν βαπτισθέντες εἰς τὸ ὄνομα τῆς Ἁγίας καὶ Ὁμοουσίου Τριάδος. Ὅθεν ὁ διάβολος, ἵνα κατασιγήσῃ ἀφ᾽ ἑνὸς τὸ μελίρρυτον στόμα τοῦ Ἁγίου, καὶ ἐξ ἄλλου μηχανευόμενος κατὰ τῆς σωτηρίας τῶν ἀνθρώπων, εἰσέρχεται εἰς τὴν ἀγρίαν τοῦ Βασιλέως ψυχὴν, καὶ διατάσσει διωγμὸν κατὰ τῶν Χριστιανῶν καὶ κατὰ τοῦ Ἁγίου ἐξαιρέτως, τοῦ διδασκάλου τούτου τῆς Ὀρθοδοξίας. — Πέμπει ἐντεῦθεν τὸν στρατηλάτην Φίληκα, ἵνα φέρῃ παραχρῆμα τὸν Ἐλευθέριον· ὁ δὲ Φίληξ ἐλθὼν μετὰ τῶν στρατιωτῶν περιζωννύει τὴν Ἐκκλησίαν ἐν ᾗ ἐδίδασκεν ὁ Ἅγιος καὶ εἰσελθὼν ἔνδον, ἴδεν ἰδίοις ὄμμασι τὴν κοσμιότητα τοῦ Ἁγίου καὶ ἐθαύμασεν! Ἀκούσας δὲ καὶ τὴν πάνσοφον αὐτοῦ διδασκαλίαν, μεταβάλλει τὸ ἄγριον ἦθος εἰς ἱλαρότητα, γινόμενος, ὁ πρώην λύκος, ἥμερον πρόβατον, καὶ ἀπὸ



διώκτης ὑπήκοος μαθητής. — Κατεφρόνησε παραχρῆμα τὰς προσκαίρους τιμὰς, — παρέβλεψε τὸν φθαρτὸν πλοῦτον, — ἠρνήθη τοὺς συγγενεῖς αὐτοῦ καὶ φίλους, καὶ οὐδὲ κἂν ἀπαντᾷ τῷ βασιλεῖ, ἀλλὰ προσπεσὼν εἰς τοὺς πόδας τοῦ Ἁγίου ἐπίστευσεν εἰς τὸν Χριστὸν εἰς ὃν ἐνισχύσας ὁ Ἅγιος καὶ κατηχήσας, συμβουλεύει ἵνα μὴ γίνῃ παρήκοος τῆς ἧς ἔλαβε βασιλικῆς προσταγῆς, ἀλλὰ συνοδεύων αὐτὸν, παρουσιάσῃ ἔνθα διετάχθη. Τοιαύτην συμβουλὴν ἔδωκεν ὁ Ἅγιος πρὸς τὸν Φίληκα, διότι ἐπροθυμοποιεῖτο, σὺν τοῖς ἄλλοις, ἵνα ἀπολαύσῃ τοῦ μαρτυρίου τὸν στέφανον. — Τούτων ἕνεκεν, ὁ Φίληξ, παρέλαβε τὸν Ἅγιον καὶ ἐπορεύοντο εἰς τὴν τὴν Ῥώμην· διερχόμενοι δὲ ἀπό τινα μικρὸν ποταμὸν, ζητεῖ, ὁ Φίληξ, (ὡς ἄλλος Κανδάκης ἀπὸ τὸν Φίλιππον), ἵνα βαπτισθῇ, ὁ δὲ ἅγιος ἰδὼν τὸν πόθον αὐτοῦ ἀναγεννᾷ διὰ τοῦ θείου βαπτίσματος· φθάσαντες ἀκολούθως εἰς Ῥώμην ὁ μὲν Φίληξ ἡνώθη μετ᾽ ἄλλων Χριστιανῶν διηγούμενος τὰ γεγονότα, ὁ δὲ Ἅγιος παρέστη εἰς τὸ ὅπερ προσεκαλεῖτο παρὰ τοῦ Βασιλέως μέρος μετὰ τοσαύτης χαρᾶς ὡσανεὶ προσκεκλημένος ἦτο εἰς φαιδρὰν πανήγυριν. Ὁ Βασιλεὺς ἰδὼν τὸν Ἅγιον νέον, εὔμορφον καὶ κοσμιώτατον κατὰ τὸ ἦθος, ὑπεδέχθη αὐτὸν εὐμενῶς λέγων. Τίνος ἕνεκεν Ἐλευθέριε ἐγκατέλειψας τὴν θρησκείαν τῶν προπατόρων σου πιστεύσας εἰς ἕνα κακοθάνατον ἄνθρωπον; Ταῦτα ἀκούσας ὁ ἅγιος οὐδεμίαν ἔδωκε τῷ Βασιλεῖ ἀπάντησιν, διόπερ νομίσας, ὁ τύραννος, τὴν σιωπὴν ταύτην ὡς ἄριστον οἰωνὸν, ἀνέλαβε γλυκεῖς καὶ κολακευτικοὺς λόγους ὑποσχόμενος πλουσίας δωρεὰς εἴποτε θυσιάσῃ τοῖς εἰδώλοις.

Τοὺς γλυκεῖς τούτους καὶ κολακευτικοὺς τοῦ Βασιλέως λόγους ἀκούσας ὁ Ἅγιος, ἀπεκρίθη ἐλευθέρως λέγων: « Δὲν καταδέχομαι ἵνα προσκυνήσω ὡς θεοὺς τὰ ἀναίσθητα ξόανα· ταλανίζων μάλιστα τὴν ἀθλιότητα ὑμῶν, θαυμάζω, διότι ἐνῷ ὁ Θεὸς ἐστόλισεν ὑμᾶς μετὰ λογικοῦ, ὑμεῖς ἀποκαθίστασθε ἀτιμώτεροι καὶ ξύλων καὶ λίθων ἀρνούμενοι αὐτὸν, καὶ προσκυνοῦντες ἀναίσθητα ξόανα· ἐγὼ αὐτὸν σέβωμαι καὶ λατρεύω διότι αὐτὸς ἐποίησε τὸν Οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὅθεν οὔτε τὰς ὑμετέρας δωρεὰς δέχομαι, οὔτε τὰς βασάνους φοβοῦμαι »

Θυμωθέντος τοῦ τυράννου ἕνεκεν τῆς ἀπαντήσεως ταύτης τοῦ Ἁγίου, διατάσσει ἵνα ἐξαπλοῦντες αὐτὸν ἐπὶ χαλκοῦ κραββάτου, θέτωσιν ὑπ᾽ αὐτοῦ πῦρ καὶ κατακαύσῃ τὰς σάρκας τοῦ μάρτυρος. Ἡ τοιαύτη φρικτὴ βάσανος ἐνέπλησε λύπης ἅπασαν τὴν πόλιν ἥτις ἐλοιδόρει τὸν Βασιλέα ὡς ἀπάνθρωπον καὶ θηριώδη. Τεθέντος ὅμως τοῦ Ἁγίου ἐπὶ τῆς φρικωδεστάτης ταύτης βασάνου, ὁ Παντοδύναμος Θεὸς, καθὼς διεφύλαξε τοὺς τρεῖς Παῖδας εἰς τὴν καιομένην κάμινον, διεφύλαξε καὶ ἐν τῇ τοιαύτῃ περιπτώσει τὸν πιστὸν αὐτοῦ δοῦλον, τὸν Ἐλευθέριον, πέμψας Ἄγγελον ἐξ οὐρανοῦ πρὸς αὐτὸν καὶ δροσίζων τὰς φλόγας τοῦ πυρὸς, ἐν μέσῳ τῶν ὁποίων ἑστὼς σῶος καὶ ἀβλαβὴς ὁ μάρτυς, ὑμνολόγει τὸν Κύριον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἰδὼν δὲ ὁ τύραννος ὅτι ὁ Ἐλευθέριος διέμεινεν ἀβλαβὴς, ἔτι μᾶλλον ὀργίζεται καὶ διατάσσει ἵνα ἐκτείνωσι καὶ πάλιν αὐτὸν ἐπὶ ἐσχάρας σιδηρᾶς, καὶ χύνοντες ἄνωθεν ἔλαιον, ἐξάπτουσι δι' αὐτοῦ τὴν ὑπὸ τῆς ἐσχάρας πυράν. Ὅθεν καὶ τῆς βασάνου ταύτη; διέμεινεν ἀβλαβὴς, διότι ἡ βοήθεια τοῦ Θεοῦ, προφθάσασα, κατέσβεσε τὸ πῦρ, ἐψύχρανε τὸν σίδηρον, καὶ οὕτω δροσιζόμενος ὁ Ἅγιος, ἔψαλλε μετὰ χαρᾶς « ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ » εὐλογήσω το ὄνομά σου διὰ παντός. » Ταῦτα θεωρῶν ὁ τύραννος μαίνεται καὶ λυσσᾷ κατὰ τοῦ Ἁγίου καὶ ἐπινοεῖ ἑτέραν τιμωρίαν· διατάσσει ὅθεν ἵνα ἀναλύσωσι πίσσαν καὶ κηρὸν ἐν τηγάνῳ ὅπως ἐν αὐτῷ ῥιφθῇ ὁ Ἅγιος. Τούτων δὲ ἡτοιμασθέντων λέγει πρὸς αὐτὸν ὁ τύραννος: Ἐλευθέριε, ἰδὲ! εὑρίσκεσαι ἀναμέσον θανάτου καὶ ζωῆς· φρόντισον διὰ τὴν σωτηρίαν σου, διότι λυπούμενος τὸ κάλλος σου καὶ τὴν νεότητά σου, δὲν ἐπιθυμῶ, μὰ τοὺς Θεοὺς, ἵνα στερηθῇς τὴν ζωὴν διὰ ματαίαν καὶ ἀνωφελῆ ἰσχυρογνωμίαν. Πλὴν εἰς τὰς τοιαύτας τοῦ βασιλέως συμβουλὰς γενναίως ἀποτανθεὶς ὁ Ἅγιος, ἀνήγγειλλεν ὅτι ἐνῷ ἦτο ἕτοιμος ἵνα ὑποστῇ τὰς πλέον φρικτὰς βασάνους, οὐδέποτε ἀρνεῖται τὸν ποιητὴν τοῦ κόσμου ἵνα θυσιάσῃ τοῖς εἰδώλοις. Ταῦτα ἀκούσας ὁ βασιλεὺς κελεύει ἵνα ῥιφθῇ ὁ Ἅγιος ἐν τῷ φλογοδεστάτῳ ἐκείνῳ τηγάνῳ, καί τοι μάτην ἐκοπίασεν ὁ δείλαιος, διαμείναντος καὶ πάλιν τοῦ Ἁγίου, θείᾳ βοηθείᾳ, ἀβλαβοῦς ὡς καὶ πρότερον.

Ἀγνοῶν ὁ τύραννος ὁποίαν τιμωρίαν ἵνα ἐπιννοήσῃ κατὰ τοῦ Μάρτυρος, ἐλυπεῖτο σφόδρα· ἰδὼν δὲ αὐτὸν οὕτω ὁ τῆς πόλεως Ἔπαρχος, Κορέμων τοὔνομα, καὶ ἐπαιρόμενος ἐπὶ τῇ πολυμηχανίᾳ αὐτοῦ, παρέστη πρὸς αὐτὸν λεγων· ἐγὼ, βασιλεῦ, δύναμαι ἵνα βιάσω τὸν Ἐλευθέριον καὶ πεισθῇ εἰς τοὺς λόγους σου, ἄλλως θέλει δοκιμάσει τὸν πικρότερον θάνατον. Ταῦτα εἰπὼν διατάσσει ἵνα φέρωσι κλίβανον χαλκοῦν ἔνδον τοῦ ὁποίου ἦσαν σιδηροὶ ὀξύτατοι ὀβελίσκοι, καὶ καίοντες αὐτὸν ῥίψωσι τὸν Ἅγιον. Ὁ Κορέμων οὗτος, καί τοι ἐδιδάχθη τὴν Ὀρθοδοξίαν παρὰ τοῦ Φίληκος, ἐπέμενεν ὅμως εἰς τὴν τῶν εἰδώλων πλάνην διά τε τὴν πρὸς τὸν βασιλέα φιλίαν καὶ τὴν πρόσκαιρον δόξαν. Ἑτοίμου δὲ οὔσης τῆς τρομερᾶς βασάνου, ὁ Ἅγιος παρεκάλει τὸν Θεὸν — ὡς ἄλλος Στέφανος — ἵνα φωτίσῃ τοὺς διώκτας αὐτοῦ εἰς τὴν ὁδὸν τῆς ἀληθείας· διόπερ καὶ ἡ προσευχὴ αὐτοῦ καρποφορεῖ παραχρῆμα, καὶ ὁ Ἔπαρχος, ὁ διατάξας κατὰ τοῦ Ἁγίου τὴν τρομερὰν ἐκείνην βάσανον, ἀλλοιωθεὶς θείαν ἀλλοίωσιν, παρίσταται πρὸς τὸν βασιλέα λέγων· ! τί κακὸν ἔπραξεν ὁ καλὸς Ἐλευθέριος ἀποφασιζόμενος εἰς τὸν χαλεπώτερον θάνατον; Θαυμάσας ὁ βασιλεὺς καὶ θυμωθεὶς κατ' ἄκρον διὰ τὴν ἀνέλπιστον τοῦ Ἐπάρχου ἀλλοίωσιν, «ἔχεις δίκαιον, » τῷ εἶπε, τὰ ἀργύρια καὶ τὰ δῶρα τῆς μητρὸς τοῦ Ἐλευθερίου » ὑπαγόρευσάν σε ἵνα λυπηθῇς αὐτὸν τοῦτον, πλὴν μήτι ἀχάριστε » δὲν ἐτίμησά σε καὶ ἐδόξασά σε; . . . . Ἀλλ' ὁ Κορέμων θείου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Πνεύματος ἐμπεπλησμένος ἤδη, ὡμολόγησε παῤῥησίᾳ τὸν ἀληθινὸν Θεὸν, καὶ ἐντεῦθεν ὁ τύραννος ὀργισθεὶς κελεύει ἵνα ῥίψωσιν αὐτὸν εἰς τὸν διὰ τὸν Ἐλευθέριον προετοιμασθέντα κλίβανον, εἰς ὃν πλησιάσας θεωρεῖ τὰς φοβερὰς φλόγας καὶ φωνεῖ πρὸς τὸν Ἅγιον ἵνα παρακαλέσῃ τὸν Θεὸν καὶ ἐνισχύσῃ αὐτόν· ἐνθαῤῥύνας δὲ αὐτὸν ὁ Ἅγιος, εἰσέρχεται εἰς τὸν κλίβανον μετὰ προθυμίας καὶ πίστεως, καὶ, Μέγας εἶ Κύριε καὶ θαυμαστὰ τὰ ἔργα Σου! διέμεινεν ἀβλαβὴς δοξολογῶν τὸν Κύριον. Ταῦτα ἰδὼν ὁ βασιλεὺς διέταξε παραχρῆμα καὶ ἀπεκεφάλισαν αὐτὸν καὶ οὕτω ἐν ὀλίγοις ἠξιώθη τῆς οὐρανίου ἀγαλλιάσεως. Οἱ ὀφθαλμοὶ ὅμως τοῦ βασιλέως τετυφλωμένοι εἰσέτι, ἐξαγριόνουσι τὴν θηριώδη αὐτοῦ μανίαν, καὶ διατάσσει ἵνα ῥίψωσι τὸν Ἅγιον εἰς τὸν εἰσέτι παφλάζοντα κλίβανον, μὴ πειθόμενος ὅτι ἡ θεία δύναμις ἠδύνατο ἵνα ῥύσῃ αὐτὸν ἐκ τῆς τρομερᾶς ἐκείνης βασάνου, ὡς ἐῤῥύσατο πρὸ μικροῦ καὶ τὸν Κορέμωνα. Ὅθεν τῆς διαταγῆς ταύτης ἐκπληρωθείσης ἠπατήθη καὶ πάλιν διότι βληθέντος τοῦ Ἁγίου εἰς τὸν κλίβανον ἐκεῖνον οὐ μόνον τὸ φλογόφερτον αὐτοῦ πῦρ ἐσβέσθη καὶ τῶν σιδηρῶν ὀβελίσκων ἡ ὀξύτης ἠμβλήνθη, ἀλλὰ καὶ οἱ βλέποντες τὸ θαῦμα τοῦτο ἐβόων *Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν*!!

Ἐξαγριώσαντα ταῦτα πάντα ἔτι μᾶλλον τὴν λύσσαν τοῦ τυράννου, κελεύει, οὗτος, ἵνα ῥίψωσιν εἰς φυλακὴν τὸν Ἅγιον καὶ ἐγκαταλείψωσιν αὐτὸν ἐκεῖσε ἄνευ τροφῆς. Ὁ Θεὸς ὅμως ὁ θρέψας τὸν Ἠλίαν διὰ τοῦ κόρακος ἐν τῷ σπηλαίῳ, ἔτρεφε καὶ τὸν Ἐλευθέριον ἐν τῇ φυλακῇ διὰ τῆς περιστερᾶς. Ἀλλ' ὁ τύραννος ἰδὼν ὅτι καὶ ἐν τῇ τοιαύτῃ περιπτώσει ἠπατήθη, νέαν ἐπινοεῖ κατὰ τοῦ Ἁγίου τιμωρίαν· ὅθεν διατάσσει ἵνα τεθῶσιν, εἰς ζυγὸν, τρία ἄγρια ἄλογα ζῶα — ὁ ἀγριώτερος ἐκείνων καὶ ἀλογώτερος — καὶ ὄπισθεν αὐτῶν δέσωσι τὸν Ἅγιον ὅπως, ἐξηγριωθέντα, σύρωσιν εἰς βράχους καὶ κρημνοὺς καὶ οὕτω θανατωθῇ· πλὴν καὶ ἡ τοιαύτη τοῦ ἀγρίου ἐκείνου τυράννου ἐπινόησις ἀπέβη ματαία, διότι Ἄγγελος ἐξ οὐρανοῦ καταβὰς οὐ μόνον μεταβάλλει τὴν ἀγριότητα τῶν ἀλόγων ἐκείνων ζώων εἰς ἡμερότητα, ἀλλὰ, λύων τὰ δεσμὰ τοῦ Ἁγίου, μεταφέρει αὐτὸν ἐφ' ἅρματος εἰς τὸ πλησίον ὄρος, ἐν ᾧ διαμείνας ὀλίγον καὶ δοξολογῶν ἐν ὕμνοις τὸν Κύριον, συνήθροιζε περὶ αὐτὸν τούς τε Λέοντας, Ἄρκτους καὶ πάντα τὰ θηρία τοῦ ἀγροῦ μεταβάλλων ἐπὶ τοσοῦτον διὰ τῆς γλυκυτάτης αὐτοῦ φωνῆς τὴν ἀγριότητα αὐτῶν εἰς ἡμερότητα, ὥστε ἐρχόμενα ἐσκίρτουν ἐνώπιον αὐτοῦ.

Τούτων πληροφορηθεὶς ὁ Βασιλεὺς, κελεύει ἵνα φέρωσι τὸν Ἅγιον· ἐρχομένων δὲ τῶν στρατιωτῶν ἐπὶ τοῦ ὄρους ὥρμησαν τὰ ἄγρια ἐκεῖνα θηρία κατ' αὐτῶν· ἀλλ' ὁ Ἅγιος διέταξεν αὐτὰ ἵνα ἀνεχωρήσωσιν καὶ οὕτω τὰ μὲν ζῶα, ὑποτασσόμενα, ἐκρύβησαν ἐν τοῖς δάσεσι, οἱ δὲ στραταιῶται ἐλθόντες παρέλαβον τὸν Ἅγιον καὶ ἐν ὁδῷ κατηχούμενοι ὑπ' αὐτοῦ ἐθαύμαζον ἐπὶ τοσοῦτον ὥστε πολλοὶ ἐξ αὐτῶν ἐπίστευσαν εἰς τὸν ἀληθῆ Θεόν.

Φθασάντων εἰς Ῥώμην, συγκαλεῖ πανήγυριν ὁ Βασιλεὺς ὅπως ἐν ὅλῃ τῇ ἐπισημότητι θανατώσει τὸν Ἅγιον· τῆς πανηγύρεως δὲ ἐλθούσης, ἀπέλυσαν κατὰ τοῦ Ἁγίου — διαταγῇ τοῦ Βασιλέως. — ἀγριωτάτην τινα Λέαιναν, ἥτις ὁρμήσασα κατ' αὐτοῦ καὶ πλησιάσασα, ὢ τῶν ἀῤῥήτων θαυμάτων σου Κύριε! κλίνει τὴν κεφαλὴν ἐνώπιον τῶν ποδῶν τοῦ Ἁγίου σεβομένη οὕτω εἰπεῖν τὴν ἱερότητα τοῦ ἁγίου ἐκείνου σώματος! Ἰδὼν δὲ ὁ Βασιλεὺς τὸ γεγονὸς τοῦτο καὶ εἰσέτι ἔχων κεκλεισμένους τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, κελεύει ἵνα ἀπολύσωσι Λέοντα ἀγριώτατον, ἀλλὰ καὶ οὗτος, Θεοῦ εὐδοκοῦντος, ἐφάνη ἡμερότερος· τῆς Λεαίνης! Οἱ παρεστῶτες ἐθαύμαζον καὶ ὅσοι μὲν εἶχον ἀνεωγμένους τοὺς ψυχικοὺς αὐτῶν ὀφθαλμοὺς ἐκραύγαζον, *Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν*· ὅσοι δὲ εἶχον αὐτοὺς κεκλεισμένους, ἀπέδιδον ταῦτα πάντα εἰς μαγείας καὶ εἰς τεχνάσματα διαβόλου. Τότε ὁ βασιλεὺς θεωρῶν ὅτι ἐξ ὅλων τῶν μέχρι τοῦδε ἐπινοηθέντων βασάνων διέμεινεν ἀβλαβὴς ὁ Ἅγιος, ἐκδίδει ἐπὶ τέλους ἀπόφασιν ἵνα ἀποκεφαλίσωσιν αὐτόν· καὶ οὕτω κόψαντες, οἱ δήμιοι, τὴν ἱερὰν αὐτοῦ κεφαλὴν, παρέθετο τὸ πνεῦμα εἰς τὰς χεῖρας ἐκείνου ὃν ἐπόθησεν ἐκ νεαρᾶς αὐτοῦ ἡλικίας. Ἡ Μήτηρ αὐτοῦ, ἡ περικλεὴς Εὐανθία, ἐναγκαλιζομένη τὸ σῶμα τοῦ υἱοῦ αὐτῆς καὶ μάρτυρος, καὶ ἀσπαζομένη αὐτὸ ὡς παθὸν καὶ ἀποθανὸν διὰ τὸν Κύριον, καταδικάζεται καὶ αὐτὴ εἰς τὸν ἴδιον τοῦ υἱοῦ αὐτῆς θάνατον καὶ παραχρῆμα τέμνεται τὴν κεφαλήν. Τότε οἱ ἐν Ῥώμῃ παροικοῦντες κάτοικοι τοῦ Αὐλῶνος παραλαβόντες τὰ δύο ἐκεῖνα ἱερὰ λείψανα, καὶ μυρίσαντες ὡς ἔδει, ἐνταφίασαν αὐτὰ εἰς δόξαν Πατρὸς, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ.' Ὁ Εἱρμός.

Ἡ κάμινος Σωτὴρ ἐδροσίζετο, οἱ Παῖδες δὲ χορεύοντες ἔψαλλον· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Δίς.

Ὁ ὕψιστος Οὐρανόν σε ἔμψυχον, Παστάδα τε ἁγνὴ χαριτόπλοκον, χρυσόμορφον Πορφύραν, καὶ Παράδεισον ἀνέδειξε.

Στερέωσον τὸν νοῦν μου τρεπόμενον, τὸν λογισμὸν κλονούμενον ἕδρασον, ἐν ἀσαλεύτῳ με πέτρᾳ, τῇ σῇ σκέπῃ Μητροπάρθενε.

Τοῦ Ἁγίου. Οἱ Παῖδες ἐν Βαβυλῶνι.

Τυράννων ἤλεγξας θράσος, καὶ βασιλέων ὠμότητα. Καὶ γὰρ μέσον πυρὸς ἡπλωμένος, παμμάκαρ ἀνέμελπες. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.



Ἐξέστησαν καθορῶντες, τὰ τῶν Ἀγγέλων στρατεύματα, Ἱεράρχα τὴν σὴν καρτερίαν· δι' ἧς καταβέβηκας, στεῤῥῶς ἀγωνιζόμενος, τὸν δεινὸν κοσμοκράτορα.

Μαρτύρων χοροστασίαι, Ἀρχιερέων τε σύλλογος, καὶ Ἀγγέλων πληθὺς εὐφροσύνης, πλησθέντες ἀγάλλεσθε, ἐπὶ τῇ θείᾳ μνήμῃ νῦν, τοῦ Ἱεράρχου καὶ Μάρτυρος.

Ἁγίας ῥίζης ὡς ἄνθος, ἐλευθερίας φερώνυμε, ἀπὸ θείας μητρὸς ἀνεβλάστησας, καρπὸς ἱερώτατος, μαρτυρικοῦ δι' αἵματος, τῷ Χριστῷ προσενήνεξαι.

Θεοτοκίον.

Ἁγίων ἁγιωτέρα, τῶν οὐρανίων Δυνάμεων, Χερουβὶμ ἀνεδείχθης, μητροπάρθενε Δέσποινα, Χριστὸν κυήσασα, τὸν Δεσπότην τῆς κτίσεως.

Ὠδὴ ή. ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαὶ, ὡς Κτίστην καὶ Κύριον, ὑμνεῖτε ἱερεῖς, δοξάσατε παῖδες, εὐλογεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δίς.

Ὡς ἔμψυχος θάλαμος, καὶ ἔμπνους Ἁλουργὶς, Χλαμὺς ἁλουργόχροος, τῷ πάντων Βασιλεῖ, ἐδείχθης Παρθένε, καὶ Πορφύρα ἐξ ἧς, ἡ σὰρξ συνεξυφάνθη, τοῦ Θεανθρώπου Λόγου.

Συνέλαβες ἄχραντε, τὸν ἅπασαν δρακὶ, τὴν κτίσιν συνέχοντα, ὡς Κτίστην καὶ Θεὸν, ἀῤῥήτως ἀφράστως, δι' ἡμᾶς καθ' ἡμᾶς, βροτὸν γεγονότα, καὶ ὃ ἦν μὴ ἐκστάντα.

Τοῦ Ἁγίου. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ὡς δεκτὸν ἱερεῖον ὁλοκαυτούμενον, τῷ πυρὶ τῶν βασάνων, Πάτερ ἀοίδιμε, θεῖαν ὡς ὀσμὴν, πρὸς ὕψος τὸ οὐράνιον, τὴν εὐχαριστίαν, ἀνέμελπες ἐνθέως.

Πεποιθὼς ὥσπερ Λέων, ἀνόμους ἤλεγξας, καὶ πολλῇ παῤῥησίᾳ, στόματα ἔφραξας, τῶν εἰς τὸν Θεὸν, τῶν ἁπάντων καὶ Κύριον, πάλαι δυσφημούντων ἐχθρῶν ἀθεωτάτων.

Ἀνυψῶν Ἱεράρχα, πιστῶν τὸ φρόνημα, ἐταπείνωσας θράσος, καὶ καταβέβληκας, τῶν εἰς τὸν Θεὸν, ἀσεβούντων κραυγάζων σὺ, σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον.

Ο καρπὸς τῆς κοιλίας, τῆς σῆς Πανύμνητε, τὴν τοῦ ξύλου κατάραν, ὑλομανήσασαν, πρόῤῥιζον τεμὼν, ἐν ταὐτῷ ἀνεβλάστησε, τὴν τῆς εὐφροσύνης, Παρθένε εὐλογίαν.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Τὴν ζωοδόχον Πηγὴν τὴν ἀέναον, τὴν φωτοφόρον Λυχνίαν τὴν πάγχρυσον, τὸν Ναὸν τὸν ἔμψυχον, τὴν Σκηνὴν τὴν ἄχραντον, τοῦ Οὐρανοῦ καὶ τῆς γῆς τὴν πλατυτέραν, τὴν Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν. Δίς.

Ῥεῖθρον τῆς σῆς με κατάρδευσον χάριτος, τῶν συμφορῶν τῷ φλογμῷ φλογιζόμενον, καὶ δεινῶς τηκόμενον, Πηγὴ χαριτόβρυτε, τὸν ποταμὸν ἡ τεκοῦσα τῶν χαρίτων· ἐξ οὗ ὁ πίνων διψήσῃ οὐδέποτε.

Ὡς τοῦ νυμφίου σε ὡραῖον θάλαμον, ὡς τοῦ Δεσπότου Παλάτιον ἔμψυχον, ὡς Πορφύραν πάγχρυσον, καὶ τερπνὸν Παλάτιον, τοῦ Χριστοῦ Δεσποινα πάντων, καθικετεύοντά σε σῶσόν με.

Τοῦ Ἁγίου. Θεὸν ἀνθρώποις, ἰδεῖν ἀδύνατον.

Τεμὼν μαχαίρᾳ, τῶν θείων λόγων σου, τὴν κεφαλὴν τοῦ ψεύδους, Ἐλευθέριε Ἅγιε, τοῦ Χριστοῦ παρέσχες τὰ νικητήρια, πίστει καὶ ἀληθείᾳ· ὅθεν τιμῶμεν σε, ὡς τροπαιοφόρον, οἱ πιστοὶ καὶ θεῖον κήρυκα.

Ἐκ γῆς ἀπάρας, Σοφὲ τὸ φρόνημα, τὸ τῆς ψυχῆς πρὸς μόνην, τοῦ Δεσπότου τὴν ἔφεσιν, νοητῶς ἀνύψωσας καὶ πᾶσαν σοφῶς, ὕλην ἠρνήσω, πᾶσαν εὐπάθειαν, καὶ ἐν ταῖς βανάσοις καρτερῶν στεῤῥῶς ἐνήθλησας.

Ῥοαῖς αἱμάτων, τῆς σῆς ἀθλήσεως, τὴν ἱερὰν κοσμήσας σου, στολὴν ἱερώτατε, εἰς τὴν ἐπουράνιον Σκηνὴν τοῦ Χριστοῦ, μετὰ τέλος εἰσέδυς, τοῦ μαρτυρίου σου· ἔνθα μνημονεύοις, καὶ ἡμῶν τῶν εὐφημούντων σε.

Θεοτοκίον.

Ὑμνεῖν τὸν τρόπον, τὸν ὑπερθαύμαστον, τῆς ὑπὲρ νοῦν καὶ ξένης σου, κυήσεως Πάναγνε, ἀπορεῖ συστήματα ἁπάντων βροτῶν. Πάντα γὰρ ὑπερέχει, νοῦν καὶ διάνοιαν, καὶ νοήσεις πάντων, λογισμῶν καὶ τὴν τῶν λόγων ἰσχύν.



Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς Ἄστροις.

Χριστῷ προσήγαγες Πάτερ, Πιστῶν ἀγέλας ὡς Ποιμήν. Σοὶ δὲ ἑνοῦσα τῷ Μόσχῳ, ὡς Δάμαλις ἡ τεκοῦσα, συνανῃρέθη μεθ' ἧς σε, νῦν Ἐλευθέριε μέλπω.

Θεοτοκίον. ὅμοιον.

Καὶ σὲ μεσίτριαν Κόρη, προβάλλομαι Παναγία, πρὸς τὸν ἐξ σοῦ γεννηθέντα ὅπως κολάσεως πάσης, ἀπαλλαγῶ καὶ βασάνων, τῶν αἰωνίων ὁ τάλας.

Εἰς τοὺς Αἴνους ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Ἐκκλησίας προστάτης, πάτερ γενόμενος, ὡς Εὐανθίας γόνος, τῆς θεόφρονος ὄντως, καὶ μύστης Ἀποστόλων ὡς ἀληθῶς, πρὸς τὸν Θεὸν ἐπιστέφεις λαοὺς, τοὺς πρὶν ἀφρόνως τὸ σέβας οἷα θεοῖς, ἀπονέμοντας τοῖς δαίμοσι.

Τὴν ἱερὰν Ἀμπεχόνην, σοὶ περιέθετο, εἰς Ἱεράρχην χρίσας, ἀγασθείς σου τὸ κάλλος, ἔνδον Θεοφόρε τὸ τῆς ψυχῆς, ὁ θεόφρων Ἀνίκητος, καὶ Οἰκουμένης ἁπάσης θεῖος φωστὴρ, ἀνεδείχθης ἱερώτατε.

Τῶν ἐπὶ τέκνων γυναίων, Πάτερ κηδόμενος, ἐλευθερίαν δίδως, τῷ ναῷ σου φοιτώσαις. Εὔπλοιαν δὲ πάλιν ἄλλοις θερμῶς, ἐξαιτοῦσιν ἐπαίδευσας, καὶ τοῖς νοσοῦσιν ὑγιείαν σὺ χορηγεῖς, διαλάμπων ἐν τοῖς θαύμασι.

Τοῦ μαρτυρίου τοὺς ἄθλους, στεῤῥῶς ὑπήνεγκας, Ἀδριανοῦ μὴ πτήξας, τὰς δρυμείας κολάσεις, ἔρωτι τοῦ Κτίστου ὅλος ἁλοὺς, Ἐλευθέριε πάνσοφε, καὶ τὴν τεκοῦσάν σε σύναθλον προσλαβὼν, ἀνελήλυθας γηθόμενος.

Δόξα ἦχος β'.

Ὡς τῆς θείας ἐλευθερίας ἐπώνυμος, τῆς ἱερᾶς Διπλοΐδος Πάτερ κατηξίωσαι, καὶ νεανικῶς τὴν εὐσέβειαν διδάσκων, τῶν πρακτέων τοὺς λόγους ἡμᾶς ἐξεπαίδευσας. Ὅθεν τὴν μαρτυρικὴν ἔνστασιν ἐκτελέσας, ἐν ἀμφοτέροις Ἐλευθέριε, τὸ καύχημα ἐκληρώσω Χριστόν. Ὃ μὴ ἐλλείποις πρεσβεύων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, προεόρτιον· ἦχος ὁ αὐτός·

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν

ὁ Κύριος ἡμῶν. Ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ ὃν ἔπλασεν, ἄνθρωπον ὡς μόνος φιλάνθρωπος.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Ἐν τῇ Λειτουργίᾳ, ἐκ τοῦ κανόνος τοῦ Ἁγίου, Ὠδὴ γ', καὶ ς'.

Εὐαγγέλιον Ἱεραρχικόν. Κοινωνικόν, Εἰς μνημόσυνον αἰώνιον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ

## ΕΛΕΥΘΕΡΙΟΝ.

Μετὰ τὸν Εὐλογητόν, τό, Κύριε εἰσάκουσον, τὸ Θεὸς Κύριος, καὶ τὸ παρὸν Τροπάριον.

Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς

Τοὺς τῷ Ναῷ σου τῷ σεπτῷ προσφοιτῶντας, καὶ τὴν ἀντίληψιν τὴν σὴν αἰτουμένους, ὡς συμπαθὴς ἐλέησον Παμμάκαρ αὐτούς, νέμε τούτοις ἅπασι, τὰ σωτήρια πάντα, χαίροντας ἀπόλυσον, τῇ τῆς χρείας πληρώσει, μὴ ἀποστρέψεις Ἅγιε κενούς, τοὺς προσφυγόντας εἰς σὲ Ἐλευθέριε.

Δόξα καὶ νῦν. Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε.

Εἶτα ὁ Ν'· καὶ ὁ Κανών.

Ὠδὴ ά. ὁ Εἱρμός. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς παῤῥησίαν μεγάλην πρὸς τὸν Θεόν, κεκτημένον ἔρχομαι, σὲ θεόφρων δυσωπεῖν, εὐμενῶς προσδέχου τὰς λιτάς, ἃς προσάγειν, σοὶ τολμῶ ὑπὲρ τῶν δούλων σου.

Ἱεραρχίας ἐκλάμψας ταῖς ἀρεταῖς, ἱεράρχης γέγονας, Ἐλευθέριε λαμπρός, ἀναφέρων μάκαρ πρὸς Θεόν, τὰς δεήσεις, τῶν πιστῶν ἃς καὶ νῦν ἀνάγαγε.

Ὑπ' Ἀνικήτου τὸ χρίσμα ἀναλαβών, ἱερεὺς ἐνδέδειξαι, ἀξιόθεος Σοφέ, καὶ μεσίτης ἔνθεος ὁμοῦ, μεσιτεύων, τῷ Θεῷ ὑπὲρ τοῦ πλάσματος.

Θεοτοκίον.

Φαεινοτάταις ἀκτῖσι πᾶσαν τὴν γῆν, ὁ ἐκλάμψας Ἥλιος ἐξ ἁγίας σου γαστρός, καταυγάζει Δέσποινα, δι' ὧν, φωτισθέντες, σὲ Θεοῦ Μητέρα σέβομεν.

Ὠδὴ γ'. ὁ Εἱρμός. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὁ πάντα βλέπων ὡς Θεός, σὲ ἀνάγει εἰς ὕψος λυχνίας τῆς θείας, οἷα φῶς τῶν ἀρετῶν, καὶ γέγονας ὁδηγός, τῶν ἐν σκότει, μάκαρ Ἐλευθέριε.

Χριστὸν ὃν ἔσχες βραβευτὴν, ὑπὲρ τῆς εὐσεβείας, ἐναθλῶν ταῖς βασάνοις, αὐτὸν αἴτησαι καὶ νῦν, ἐπηρείας τοῦ ἐχθροῦ, καὶ πταισμάτων, λύσιν μοι δωρήσασθαι.

Ὀκλῆσιν ἔχων ἐκ Θεοῦ, ἐλευθέραν τρισμάκαρ, ἐλευθέρωσον ὄντας, ἐν ταῖς πέδαις τῶν δεινῶν, καὶ δίδου πᾶσιν εὑρεῖν, τούτων λύσιν, Ἅγιε δεόμεθα.

Θεοτοκίον.

Ἰδού σε πᾶσαι γενεαὶ μακαρίζουσι πίστει, τὴν τὸν ἄχρονον Λόγον, ἐν σώματι χρονικῶς, τεκοῦσαν ὑπερφυῶς, καὶ Παρθένον, πάλιν διαμείνασαν.

Κάθισμα. Τὰ ἄνω ζητῶν.

Θαυμάτων πολλῶν, ἀνέδειξέ σε Κύριος, τοῖς πίστει θερμῇ, τῷ Ναῷ σου προστρέχουσι, ποιητὴν πανάριστον, καὶ παντοίας σωτῆρα κακώσεως, ὡς τὸ πάθος αὐτοῦ μιμησάμενον. Τὰ πάθη οὖν πάντων Πάτερ ἴασαι.

Ὠδὴ δ.′ ὁ Εἱρμός. Χριστός μου δύναμις.

Τὴν σὴν ἀντίληψιν, αἰτεῖ ὁ δοῦλος σου, τὴν σὴν γνοὺς παῤῥησίαν πρὸς τὸν Θεόν. Μέλπει δὲ καὶ κράζει σοι, μετὰ θερμότητος πολλῆς, Πάτερ σῶσον Ἐλευθέριε.

Τὸ πῦρ τὸ ἔνοικον, τὸ πῦρ τὸ ἔνυλον, τὸ τῆς θείας ἀγάπης ἐν σοὶ νικᾷ, τοῦτο τὸ ὁμόδουλον, αὐτὸ ὑπάναψον κἀμοὶ, πρὸς τὸν κτίστην Ἐλευθέριε.

Χρηστὴν ὁ δοῦλός σου, ἐλπίδα ἔσχηκε, σῆς τυχεῖν βοηθείας ὢν ἐν δεινοῖς. Ὅθεν καὶ προσέδραμεν, εἰς τὸν Ναόν σου τὸν σεπτὸν, Ἀθλοφόρων ἐγκαλλώπισμα.

Θεοτοκίον.

Μαρία πάναγνε, παθῶν τὴν σύγχυσιν, τῆς ἐμῆς διανοίας καὶ πειρασμῶν, ζάλην διασκέδασον, τῆς ἀπαθείας τὴν πηγὴν, ὡς τεκοῦσα Μητροπάρθενε.

Ὠδὴ ε. ὁ Εἱρμός. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Κατὰ ἀνθράκων σὺ φλογερῶν, ὅλως ἐκτανθεὶς ὑπὲρ Χριστοῦ, φλόγας κατάσβεσον θλίψεων· τῆς δὲ θείας δρόσου τυχεῖν ἐξαίτει θερμῶς, τοὺς σὲ προσκαλουμένους ὦ Ἐλευθέριε.

Πολλῶν ἐν βίῳ τῶν ἀλγεινῶν, καὶ τῶν δυσχερῶν ἀπαλλαγὴν, τῷ σῷ ἱκέτῃ κατάπεμψον. Σὲ γὰρ ἔχων πρὸς τὸν Θεὸν, προστάτην θερμὸν, αἰτεῖται σου τὴν χάριν τὴν ἀκαταίσχυντον.



Τρωθεὶς τῷ ἔρωτι τοῦ Χριστοῦ, τὰς ποικιλοτρόπους σοὶ ποινὰς, ὅλως οὐκ ἔπτηξας κράτιστε, εἰδὼς τοῦτον Λόγον Θεοῦ, καὶ ὄντως Θεὸν, ᾧ πρέσβευε παμμάκαρ ὑπὲρ τῶν δούλων σου.

Θεοτοκίον.

Ὑποφωνοῦσι προφητικαὶ, ῥήσεις Παναγία, διὰ πλειόνων συμβόλων τὸν τόκον σου, ὧν νῦν τὰς ἐκβάσεις ἡμεῖς θεώμενοι, κυρίως Θεοτόκον, σὲ καταγγέλλομεν.

Ὠδὴ ς′. ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Ἰδού σοι παρίσταται, ὁ σὸς δοῦλος ταπεινὸς, τῶν ἀναγκῶν αἰτούμενος, τῷ τεμένει σου πίστει νῦν προσδραμὼν, τὴν λύσιν καὶ ἄνεσιν, ταῖς πρεσβείαις σου μάκαρ Ἐλευθέριε.

Υἱὸς ὡς γενόμενος, ἐξ ὠδίνων γυναικὸς, τῶν τικτουσῶν προΐστασαι, καὶ παρέχεις ῥαστώνην τῶν ὀδυνῶν, βοώσαις σοὶ πρόφθασον, καὶ κινδύνων ἐσχάτων ἐλευθέρωσον.

Θαυμάτων ἡ σύμπασα, γέμει ἔνδοξε τῶν σῶν· σὲ γὰρ Θεὸς ἐδόξασε, μαρτυρίου τῶν ἄθλων σου τῶν φρικτῶν. Διό με ἀπάλλαξον, τοῦ παρόντος κινδύνου πάνυ δέομαι.

Θεοτοκίον,

Σαρκὸς πηλικότητι, ἑνωθεὶς ὁ ἐκ Πατρὸς, μονογενὴς ἐν μήτρᾳ σου εἷς ἐκ δύω προῆλθε δίχα φθορᾶς, τηρήσας ἀλώβητον, τὴν σεμνὴν Παρθενίαν σου Πανύμνητε.

Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Τὸν ἰατρὸν καὶ βοηθὸν ἐν ἀνάγκαις, τὸν λυτρωτήν τε καὶ Σωτῆρα τοῦ κόσμου, αὐτὸν τῶν ὅλων Κύριον ἱκέτευε, ἅπασι δωρήσασθαι, τὰ αἰτήματα ὅσα, πρόσφορα τυγχάνουσι, καὶ σωτήρια μόνα, καὶ τῶν πταισμάτων λύσιν ἐξαιτοῦ, τοῖς σὲ τιμῶσι κλεινὲ Ἐλευθέριε.

Τὸ ἀντίφωνον τοῦ δ′. ἤχου. Προκείμενον. Δίκαιος ὡς Φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ Κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

## Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων· Ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελε-τᾶν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν, οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθαι τὰς ψυχὰς ὑμῶν.

Δόξα, Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Εἶτα, ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Τὸ στιχηρόν. ἦχος πλ. β'.

Ἱερεὺς ἐννομώτατος, μέχρι τέλους ἐχρημάτισας παμμακάριστε. Ἱερουργῶν γὰρ τὰ θεῖα, καὶ ἄρρητα μυστήρια, τὸ αἷμα ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα εὐπρόσδεκτον σαυτὸν προσήγαγες Ἐλευθέριε. Διὸ παρρησίαν ἔχων πρὸς αὐτὸν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ, Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὠδὴ ζ'. ὁ Εἱρμός. Δροσοβόλον μὲν τὴν Κάμινον.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς ὁσίοις παισίν. Ὁ Χριστὸς δὲ πυρπολοῦσαν ἔσβεσε τὴν σὴν, καὶ Ἔπαρχον ἔπεισε βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ὀδυρόμενος ὁ τύραννος οὐκ ἔφριξε, σὲ σῴζοντα τὸν Θεὸν ὁρῶν. Γοητείας δὲ τὰ θαύματα λέγων τοῦ Θεοῦ, ἀνάξιος ὤφθη τοῦ βοᾷν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Τὴν τεκοῦσάν σε ἀπέκτεινεν ὁ τύραννος, προσπλακεῖσαν μάκαρ ἐπὶ σοί. Οὐρανίους γοῦν νῦν θαλάμους ἔχοντες ὁμοῦ, φωτίσατε πάντας τοῦ βοᾷν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Γεννεῶν ἀπὸ πασῶν σε ἐξελέξατο, Παλάτιον ἀμόλυντον, ὁ οἰκήσας σου τὴν γαστέρα Κόρη Βασιλεὺς, ᾧ νῦν μελῳδοῦμεν εὐσεβῶς, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. ὁ Εἱρμός. Ἐκ φλογὸς τοῖς ὁσίοις, δρόσον ἐπήγασας.

Ἐκ φλογὸς τῆς καμίνου, σῶος ἐξέθορας, καὶ τῷ πώλων ἐδέθης, ἅρματι φέρεσθαι. Ὄντος δ' ὁ Χριςὸς,



δι' Ἀγγέλου σὲ ἔσωσεν· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὥσπερ σὲ δεδεμένον, Ἄγγελος ἔλυσε, καὶ θηρίων ἀγρίων, στόματα ἔφραξεν· οὕτω νῦν ἡμῶν, πέδας πάσας διάλυσον, τῶν ὑπερυψούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοῦ Αὐλῶνος ποιμένα, ἡ χάρις ἔχρισε καὶ φωστῆρα τοῦ κόσμου, πάντες σε ἔγνωμεν. Φώτισον καὶ νῦν, ἡμᾶς Πάτερ καὶ πρέσβευε, ὑπὲρ τῶν ὑμνούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, Θεὸν καὶ Κύριον, τοῦ θανάτου τὴν ῥύμην, τὴν ἀκαταίσχυντον, ἔστησας ἁγνὴ, ταύτην ἀπονεκρώσασα· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ.' ὁ Εἱρμός. Θεὸν ἀνθρώποις, ἰδεῖν ἀδύνατον.

Θεὸν ἀνθρώποις, μαθεῖν ἐκήρυξας, τοῖς πρὶν ποτὲ ἀψύχοις, τὴν λατρείαν προσάγουσιν. Ἀλλὰ σὺ μετάνοιαν διδάξοις καὶ νῦν, πάθεσι δουλωθέντας, καὶ ἀπαλλάξειας, πάντας τῶν παγίδων, τοῦ ἐχθροῦ ὦ Ἐλευθέριε.

Πυρὸς λοιμοῦ τε, καὶ πάσης μάστιγος, πάντας πιστοὺς θερμῶς, σοῦ δεομένους ἀπάλλαξον· τοῖς γὰρ σοῖς προσφεύγουσι θερμῶς οἰκτιρμοῖς, λύεις τὰ τῆς ἀνάγκης, ἐπικαμπτόμενος, οἷα τοῦ Δεσπότου, μιμητὴς καὶ δοῦλος γνήσιος.

Ἰσχύς μοι γένοιτο, καὶ κραταίωμα, κατὰ παθῶν ἀγρίων, τὴν ψυχὴν σπαραττόντων μοι. Ἰσχὺς γὰρ ἐξέλιπε φεῦ ἡ ἐν ἐμοί· ταύτην ἀντιμισθίαν, ἐμοὶ δωρούμενος, ὑπὲρ τοῦ παρόντος, εὐτελοῦς σοι μελῳδήματος.

Θεοτοκίον.

Ὡς σὺ οὐδέποτε κεχαρίτωται, ἐκ Γεννεῶν ἀρχαίων, Θεομῆτορ πανάχραντε. Σὺ γὰρ μόνη τὴν πασῶν ἀσύγκριτον, ἔσχες ἁγιωσύνην, καὶ καθαρότητα. Ὅθεν ὑπεδέξω, τὸν Θεὸν ἐν σοὶ σαρκούμενον.

Τὸ, Ἄξιόν ἐστιν ὡς ἀληθῶς· καὶ τὰ παρόντα Μεγαλυνάρια.

Δεῦρο Ἐλευθέριε ἀθλητὰ, τὸν ὕμνον προσδέχου, ἱλαρῶς τε καὶ εὐμενῶς, ψυχῆς μὲν ἀνάγνου, καὶ γλώσσης ἀναξίας· ἐν πίστει δὲ καὶ πόθῳ σοὶ προσαγόμενον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Σέ τὸν ἐπαξίως στέφη διπλᾶ, κατηγλαϊσμένον, Ἐλευθέριε δυσωπῶ, τῆς ἱεραρχίας, καὶ τῷ τοῦ μαρτυρίου, παθῶν με πολυτρόπων, δεῖξον ἐλεύθερον.

Χαίροις Ἐλευθέριε ἀθλητὰ, χαίροις Ἱεράρχα, Ἐκκλησίας τῆς τοῦ Χριστοῦ, χαίροις Ἀποστόλων ὁμότροπε καὶ πάντων τῶν σὲ ἀνευφημούντων προστάτα μέγιστε.

Χριστοῦ ἱερομάρτυς θεόθεν σχὼν, δῶρον τεθλιμένους φερωνύμως ἐλευθεροῦν, ἀπάλλαξον δή με, θλίψεων δέομαί σου, μελλόντων δοὺς ἰσχύν μοι, τῶν νῦν ἀνέχεσθαι.

Τὸν Ἐλευθερίῳ ἀνευφημῶ, τῆς ἀθανασίας, τὸν φερώνυμον ἀληθῶς, τοὺς ἱεροάθλους Χριστοῦ κοσμολαμπτῆρας· κινδύνων με παντοίων, σώζοι τε Ἅγιοι.

Εἶτα, Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, καὶ Αἴτησις μεγάλη, καὶ ἀπόλυσις.

ΤΕΛΟΣ.

# ΕΓΚΩΜΙΟΝ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ

## ΕΛΕΥΘΕΡΙΟΝ

ΥΠΟ

**Θ. Γ. ΠΕΦΑΝΗ.**

« Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ· ἐπὶ
» ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σὲ
» καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν
» τοῦ Κυρίου σου. »

(Ματθ. Κεφ. κέ. 21 — 23).

Ἰδοὺ καὶ ἕτερος θρίαμβος τῆς Ὀρθοδοξίας κατὰ τῶν ἀσεβῶν διὰ μέσου τοῦ Ἱερομάρτυρος Ἐλευθερίου ! Ἰδοὺ καὶ ἕτερον τρόπαιον νίκης ἐν τῷ μέσῳ τῆς περικλεοῦς Ῥώμης, ὅπερ καταθορυβεῖ τοὺς ἀσεβεῖς, ἐμπνέει τὸ θάῤῥος τῶν Ὀρθοδόξων καὶ ἀνυψεῖ τὴν λατρείαν αὐτῶν τούτων μέχρι τοῦ ἐπηρμένου ἐκείνου θρόνου, ἐφ' οὗ καθήμενος ὁ ΠΑΛΑΙΟΣ ΤΩΝ ΗΜΕΡΩΝ, περιστοιχεῖται ὑπὸ ἀναριθμήτων πολυομμάτων Χερουβὶμ καὶ ἑξαπτερύγων Σεραφὶμ ! ὁποία νίκη ! ὁποῖος θρίαμβος τῶν Ὀρθοδόξων ! ! . . . . Οἱ ἄγγελοι ἐνισχύοντες αὐτοὺς, διὰ τῶν ἀμαραντίνων στεφάνων, τῶν ἐν Ἐδὲμ πεφυτευμένων, στεφανοῦσι τὰς κεφαλὰς αὐτῶν μετὰ δόξης, καὶ ἐντεῦθεν οἱ διὰ τὴν Ὀρθοδοξίαν ἀθληταί· ἐντεῦθεν ἡ χαρὰ, ἡ ἀγαλλίασις τῶν Ὀρθοδόξων· ἐντεῦθεν ἡ καταισχύνη τῶν ἀσεβῶν καὶ ἡ θηριώδης μανία τῶν τυράννων ! ! !

Τὰ εἴδωλα τῶν ἐθνῶν — ἅπερ κατὰ τὸν Προφητάνακτα (ψαλ.
ρμγ΄. 143). στόμα ἔχουσι καὶ οὐ λαλοῦσι, ὀφθαλμοὺς ἔχουσι καὶ
οὐ βλέπουσι, ὦτα ἔχουσι καὶ οὐκ ἀκούουσι, πόδας ἔχουσι καὶ οὐ
περιπατοῦσι — μὴ ἀνθιστάμενα εἰς τὴν τῆς ἀληθείας φαεινὴν λαμ-
πάδα, ἐξαφανίζονται ἀπὸ ἡμέρας εἰς ἡμέραν, καὶ ἐντεῦθεν ἡ ἐξ
ἑνὸς μὲν κήρυξις τῆς θεοσδότου λατρείας, καὶ ἡ ἐξ ἄλλου ἐξα-
γρίωσις τῶν ἀποτροπαίων ἐκείνων τῆς ὑφηλίου ὄντων, — τῶν ἀ-
σεβῶν τυράννων — τῶν κατὰ καιροὺς ἀναφανέντων πρὸς ἔτι πλεί-
ονα, οὕτως εἰπεῖν, ἐπιβεβαίωσιν τῆς ἀληθοῦς ἐκείνης λατρείας !

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἷς τῶν ἀποτροπαίων τυράννων τῶν καταδιωξάντων τὴν Ὀρθοδοξίαν ὑπῆρξε καὶ ὁ ἐπάρατος Ἀδριανός. Ἐν ταῖς ἡμέραις αὐτοῦ τούτου νέοι διωγμοὶ λαμβάνουσι χώραν κατὰ τῆς Ὀρθοδοξίας! νέοι θόρυβοι! νέοι ποταμοὶ αἱμάτων!...... Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράττεται!.... Πάλιν ἡ Ὀρθοδοξία καταδιώκεται ἀναφανδὸν καὶ ἀσυστόλως!.... πάλιν οἱ ὑποστηρικταὶ αὐτῆς εἰς τὰς βασάνους, εἰς τὸν θάνατον!!.... Φεῦ! ὁ ἄνθρωπος ἐπλάσθη κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Ὑπερτάτου Ὄντος, — ἐστολίσθη δια τῆς θείας αὐτοῦ χάριτος, — ἐτέθη ἄρχων ἐν τῷ κόσμῳ, — τὰ πάντα ὑπὲρ αὐτοῦ ἐγένοντο ὥσπερ ὁ Προφητάναξ προσφυῶς λέγει: « Ἠλάττωσας αὐτὸν βραχύτι » παρ' Ἀγγέλου· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέ» στησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας » ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ » καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ Οὐρανοῦ, καὶ τοὺς » ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν » (ψαλ. ή. 8.), καὶ ὁ ἄνθρωπος ἐπιλήσμων γινόμενος τούτων ἁπάντων, ἀρνεῖται τὸν ποιητὴν αὐτοῦ, ἀνυψῶν ἐξ ἑνὸς ξόανα καὶ προσκυνῶν αὐτὰ ὡς Θεοὺς, καὶ καταβασανίζων ἐξ ἄλλου πάντα ἀνθιστάμενον εἰς τὸ ἀνοσιούργημα τοῦτο!

Ἐκ τῆς ἀπαισίας ταύτης χορείας ὑπάρχων καὶ ὁ ἐπάρατος Ἀδριανὸς, οὐδενὸς ἐφείσθη, οὗτος, μέσου, ἵνα ἐν τῇ ἀσεβείᾳ αὐτοῦ ἐπισύρῃ καὶ τὸν υἱὸν τῆς Εὐανθίας, τὸν θαυμαστὸν Ἐλευθέριον! Μάταιαι ὅμως καὶ φρουδαι αἱ προσπάθειαι αὐτοῦ· μάταιαι αἱ μεγαλοδωρίαι· μάταιαι αἱ πομπώδεις τιμαί· μάταια καὶ τὰ βασανιστήρια! — Τὰ πάντα καταφρονῶν ὁ Μάρτυς, ὡς διψῶσα ἔλαφος ἔτρεχε εἰς τοῦ μαρτυρίου τὰς ἱερὰς πηγὰς, ἔχων πρὸ ὀφθαλμῶν τὸ ὅπερ ὁ Προφήτης καὶ Βασιλεὺς ἔλεγεν: « Διελογησάμην τὰς » ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. » (ψαλ. ριή. 118).

Ἡ Ῥώμη, ἡ περικλεὴς ἄλλοτε Ῥώμη ἦτο ἡ πηγὴ τοῦ μαρτυρίου τῶν Ὀρθοδόξων! Αὕτη ὑπῆρξεν ἡ γεννέτειρα γῆ τοῦ Ἱερομάρτυρος Ἐλευθερίου καὶ τοσούτων ἄλλων ἱερῶν ἀνδρῶν, καὶ ἐπὶ τοῦ ἐδάφους αὐτῆς ποταμοὶ ἐχύνοντο αἱμάτων, αἱμάτων ἀθώων, αἱμάτων ἱερῶν, αἱμάτων τέλος Ὀρθοδόξων!!!

Ῥώμη! Ῥώμη! Σὺ εἶσαι ἡ Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν, καὶ τῶν βδελυγμάτων τῆς γῆς! Σὺ εἶσαι ἐκείνη ἡ μεθύσασα ἐκ τοῦ αἵματος τῶν Ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρω Ἰησοῦ (Ἀποκ. Κεφ. 17 — 56.), διὸ φοβήθητι τὴν ὀργὴν τοῦ Κυρίου!.... ἴδε!... μετανόησον!!! τὰ ἀνοσιουργήματά σου ἐπιζητοῦσι ἐκδίκησιν διότι ἠκολούθησαν αἱ ἁμαρτίαι σου ἄχρι τοῦ Οὐρανοῦ, καὶ ἐμνημόνευσεν ὁ Θεὸς τὰ ἀδικήματά σου!! (αὐτόθι Κεφ. 18. 5). Σὺ καθεζομένη εἰσέτι εἰς λήθαργον, πενθοφορεῖς κλαίουσα καὶ μὴ γινώσκουσα τὸ διατί! Ἐπὶ τῶν τοιχῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



σου ὁ ἀντίχριστος ἔχων τὴν φωλεὰν αὐτοῦ, ἐπέβαλεν ἤδη τοὺς τρομακτικοὺς αὐτοῦ ὄνυχας ἐπὶ τοῦ θυσιαστηρίου σου ἀνυψῶν ἐπὶ τῆς ἀν μαρτήτου σου (!!!) ἕδρας αἱρεσιάρχην, ἕνα σχησματικὸν!!

Ῥώμη! Ἑπτάλοφος Ῥώμη! αἰσχύνθητι πλέον!... Ἡ ὀρθοδοξία πρωτότοκος θυγάτηρ τοῦ εἰς τὸν Γολγοθᾶ σταυρωθέντος Ἰησοῦ Χριστοῦ, οὔτε τὴν τέφραν τῶν Ἱερῶν Ἐξετάσεων φέρει ἐπὶ τῆς πτέρνης, οὔτε τὸ αἷμα τῆς νυκτὸς τοῦ Ἁγίου Βαρθολομαίου ἐπὶ τῆς κεφαλῆς — ὡς προσφυῶς εἶπεν ὁ τῆς νέας Ἑλλάδος δαιμόνιος ποιητὴς — ἀλλ' εἶναι ἁγνὴ ὡς τὸν διδάξαντα αὐτὴν Θεὸν, καὶ ἀμίαντος ὡς τὴν Παρθένον τὴν ἄσπιλον!.... Ἐπὶ τοῦ ἐδάφους σου καὶ ὁ θαυμαστὸς Ἐλευθέριος κραυγάζων ἐν τῇ καρδίᾳ αὐτοῦ « διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρε» ψουσι » (ψαλ. ν'. 50.), ἠξιώθη τοῦ μαρτυρίου τὸν στέφανον! Ναὶ, ἐπὶ τοῦ ἐδάφους σου, καί τοι ἐξ αὐτοῦ κατὰ πρῶτον ἴδε τὸ φῶς τοῦ Ἡλίου! Νέος κατὰ τὴν ἡλικίαν — πλὴν γέρων κατά τε τὸ φρόνημα καὶ τὴν εἰς τὴν Ὀρθοδοξίαν σταθερότητα, ἀνεβιβάσθη, εἰκοσαετὴς, εἰς τὸν ὑψηλὸν τοῦ Ἀρχιεράρχου βαθμὸν παρὰ τοῦ τότε Ἀρχιεπισκόπου Ῥώμης Ἀνικήτου. Ἐν τῷ βαθμῷ τούτῳ προβιβασθεὶς, ὁ περικλεὴς Ἐλευθέριος, δύναταί τις ἵνα ἐννοήσῃ εὐκόλως ὁποίους ὑπέστη πολέμους παρὰ τοῦ διαβόλου τοῦ τοσαῦτα καὶ τηλικαῦτα προσπαθήσαντος ἵνα νικήσῃ αὐτὸν διά τε τῶν παρὰ τοῦ Ἀδριανοῦ ὑποσχέσεων, τιμῶν ἢ καὶ αὐτοῦ τοῦ θανάτου. Οἱ κάτοικοι τοῦ Αὐλῶνος οἵτινες ἔλαβον αὐτὸν ὡς ποιμένα ἀρκούντως ἐπείσθησαν περὶ τοῦ ζέοντος τὴν καρδίαν αὐτοῦ θείου πυρὸς, δι' οὗ, θείᾳ συνάρσει, ἐτρώθη ὁ Φίληξ ὁ ἐλθὼν πρὸς τὸν Ἅγιον μετὰ τῶν στρατιωτῶν ἵνα, συλλαβὼν αὐτὸν, παρουσιάσῃ ἐνώπιον τοῦ τυράννου! — Δι' αὐτοῦ τοῦ πυρὸς καὶ ὁ Ἔπαρχος τῆς πόλεως Κορέμων τρωθεὶς, εἰσῆλθεν εις τὴν παρ' αὐτοῦ ἐπινοηθεῖσαν καὶ διὰ τὸν Ἅγιον προετοιμασθεῖσαν χαλκοῦν κλίβανον, καὶ, διαμείνας ἀβλαβὴς τῇ ἐνισχύσει τοῦ Ἁγνοῦ, ὑμνολόγει τὸν Κύριον!!

Παρίσταται ἐνώπιον τοῦ τυράννου ὁ θαυμαστὸς Ἐλευθέριος, καὶ ὁ τύραννος ἰδὼν αὐτὸν νέον, εὔμορφον καὶ κοσμιότατον κατὰ τὸ ἦθος, ἐνόμισεν ὅτι διὰ κολακευτικῶν λόγων, ὑποσχέσεων καὶ δωρεῶν, θέλει παγιδεύσει αὐτὸν καὶ οὕτω θυσιάσῃ τοῖς εἰδώλοις· θεωρῶν ὅμως τὸ ἄκαμπτον τοῦ νέου καὶ τὴν παῤῥησίαν μεθ' ἧς τῷ ἀπεκρίθη, μετέβαλλε τοὺς κολακευτικοὺς λόγους, τὰς ὑποσχέσεις καὶ δωρεὰς εἰς ἀρειμάνιον θυμὸν καὶ διατάσσει ἵνα ὑποστῇ, ὁ Ἅγιος, τὰς φρικωδεστάτας ἐκείνας βασάνους περιγραφεῖσαι ἐν τῷ βίῳ αὐτοῦ! Ἐκ τούτων ὅμως — θείᾳ βοηθείᾳ — διαμείνας ἀβλαβὴς ὁ Ἅγιος, οὐκ ὀλίγοι εἰδωλολάτραι ἀναγνωρίζοντες τὴν ἀλήθειαν προσήρχοντο μετὰ πίστεως εἰς τὴν οὐρανόδοτον θρησκείαν τῶν Ὀρθοδόξων. Ἀλλ' ὁ τύραννος μετ' οὐ πολὺ διέταξε καὶ ἀπεκεφάλισαν τὸν Θαυμαστὸν Ἐλευθέριον καὶ οὕτω ἔφθασεν εἰς τὸν ὃν

ἐπεθύμει ἐκ τρυφερᾶς αὐτοῦ ἡλικίας, τόπον ! . . . . Ἀπεκεφαλίσθη, καὶ ἡ μήτηρ αὐτοῦ, ἡ εὐσεβὴς Εὐανθία, ἀσπαζομένη τὸν νεκρὸν τοῦ περιποθήτου αὐτῆς υἱόν, ἀποκεφαλίζεται, προστάξει βασιλικῆς, ἀπολαύσασα ἐντεῦθεν καὶ αὕτη τοῦ μαρτυρίου τὸν στέφανον !

Ἐπιποθῶν ὅθεν ὦ ἀθλητὰ Ἐλευθέριε, τὸν ἀμαράντινον τῆς δόξης στέφανον, καὶ εἰσερχόμενος εἰς τὸ μαρτύριον, δικαίως ἠδύνασο ἵνα ἐκφωνήσῃς μετὰ τοῦ Ἀποστόλου Παύλου « τὸν ἀγῶνα τὸν » καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. » Λοιπὸν ἀπόκειταί μου ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδόσει » μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος Κριτής ! . . . » (Πρὸς Τιμ. Β΄. Κεφ. Δ΄. 5.) Σὺ ὑπάρχων ἐν Οὐρανῷ μὴ διαλείπῃς ἵνα πρεσβεύῃς ὑπὲρ ἡμῶν, ὑπὲρ τοῦ ἔθνους ὁλοκλήρου. Σὺ μεσίτευσον εἰς ὅν ἐπόθησας ἵνα τὰ ἀπολολῶτα πρόβατα εἰσέλθωσι καὶ πάλιν εἰς τὴν αὐλὴν ἐκείνην παρ' ἧς ἐλειποτάκτησαν ! Σὺ μεσίτευσον ἵνα οἱ σχισματικοὶ καὶ αἱρεσιάρχαι ἐννοήσωσι τὴν ἀπάτην εἰς ἣν περιέπεσον, ὅπως ἀποκαταστηθησομένης μιᾶς ποίμνης καὶ ἑνὸς ποιμένος ἐνισχυθῇ ἐξ ἑνὸς τὸ ἀσθενὲς ἡμῶν Ἔθνος, καὶ ἐξ ἄλλου παύσωσιν αἱ πλεκτάναι καὶ αἱ παγίδες αἵτινες παρ' αὐτῶν ἐπιδαψιλεύονται ἐν ὅλῃ τῇ Ὀρθοδοξίᾳ.

Γένοιτο ! γένοιτο !

ΠΡΟΣ ΤΗΝ ΑΥΤΟΥ ΠΑΝΙΕΡΟΤΗΤΑ ΤΟΝ ΜΗΤΡΟΠΟΛΙΤΗΝ

## ΚΕΦΑΛΛΗΝΙΑΣ, ΚΑΙ ΥΠΕΡΤΙΜΟΝ ΕΞΑΡΧΟΝ.

Πανιερώτατε Δέσποτα !

Προθυμοποιούμενοι ἵνα ἐκδόσωμεν διὰ τοῦ τύπου, καὶ πάλιν, τὴν Ἱερὰν Ἀκολουθίαν τοῦ Ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου — ἕνεκεν τῆς σπανιότητος αὐτῆς, — ἐπεχειρίσθημεν ἤδη αὐτὴν μετὰ τῶν ἀπαιτουμένων διορθώσεων. Χάριν δὲ σεβασμοῦ πρὸς τὸν Ἅγιον, συνετάξαμεν, κατὰ τὰς ἀσθενεῖς ἡμῶν δυνάμεις, καὶ ἓν Ἐγκώμιον ὅπερ θέλομεν ἐπιπροσθέσει ὅπως μετὰ τῆς ὅλης ἐκδόσεως ἀποτελέσῃ ἀναπόσπαστον μέρος.

Εὐσεβάστως ὅθεν καθυποβάλλοντες τῇ Ὑμ. Παν. πάντα ταῦτα, δεόμεθα Αὐτῆς ἵνα χορηγήσῃ πρὸς ἡμᾶς τὴν ἣν ἐπιζητοῦμεν Ἐκκλησιαστικὴν ἄδειαν διὰ τὴν καὶ πάλιν ἔκδοσιν τῆς προκειμένης Ἀκολουθίας καὶ τοῦ εἰσέτι ἀνεκδότου Ἐγκωμίου οὐδαμῶς ἀντιβαίνοντος τοῖς Ἱεροῖς τῆς Ὀρθοδοξίας Κανόσι.

Τῆς Ὑμ. Θεοφρουρήτου Πανιερότητος.

Ταπεινὸς ἱκέτης

**Θ. Γ. ΠΕΦΑΝΗΣ**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΗΜΕΙΣ ΣΠΥΡΙΔΩΝ ΕΛΕΩι ΘΕΟΥ ΜΗΤΡΟΠΟΛΙΤΗΣ

## ΚΕΦΑΛΛΗΝΙΑΣ ΚΑΙ ΥΠΕΡΤΙΜΟΣ ΕΞΑΡΧΟΣ.

Εἰς σκέψιν λαβόντες τὴν προσενεχθεῖσαν εἰς ἡμᾶς αἴτησιν παρὰ τοῦ Κυρ. Θεοδώρου Γ. Πεφάνη δι᾽ ἧς ἐξαιτεῖται τὴν ἄδειαν τῆς Ἐκκλησιαστικῆς ταύτης ἀρχῆς, ὅπως ἀνατυπώσῃ τὴν Ἱερὰν Ἀκολουθίαν τοῦ ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου καὶ νὰ προσθέσῃ εἰς αὐτὴν ἓν Ἐγκώμιον ἵνα ἀποτελῇ ἓν μέρος αὐτῆς τῆς ἐκδόσεως τῆς ἀκολουθίας.

Θεωρήσαντες ὅτι ἡ ἀνατύπωσις τῆς μνησθείσης ἀκολουθίας ἀποκαθίσταται ἀναγκαία ἕνεκα τῆς ὑπαρχούσης ἐλλείψεως. Διὸ

Ἀποφαινόμεθα.

Τὴν παραδοχὴν τῆς αἰτήσεως τοῦ Κυρ. Θεοδώρου Γ. Πεφάνη ὅπως ἀνατυπώσῃ τὴν ἐν λόγῳ ἀκολουθίαν καὶ προσθέσῃ ἐν αὐτῇ τὸ παρ᾽ αὐτοῦ συνταχθὲν Ἐγκώμιον.

† Ὁ Μητρ. Κεφαλ. ΣΠΥΡΙΔΩΝ καὶ Ἔξαρχος.

Δ. Ἱερ. Μαντζαβῖνος Ῥόζος Ἀχιερ. Ἱερογραμ.

ΣΠΥΡΙΔΑΚΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ.

Καταχωροῦντες μόνον τὰ κατωτέρω ὀνόματα, λυπούμεθα διότι δὲν ἔχομεν ἀνὰ χεῖρας ἁπάσας τὰς Ἀγγελίας ὅπως καταχωρήσωμεν καὶ τὰ λοιπά.

### ΚΕΦΑΛΛΗΝΙΑΣ.

| | Ἀντίτ. |
|---|---|
| Σ. Μητρ. Κεφαλ. καὶ ἔξαρχος | 2 |
| Αἰδεσιμότατοι Ἱερεῖς. | |
| Ἱερεὺς Νικόλ. Δρακονταΐδής. | 2 |
| » Γ. Βυζάντιος | 1 |
| » Η. Ἀληπράνδης. | 1 |
| » Χ. ὁ Βαγγελάτος. | 1 |
| » Π, Κόμ. Μεταξᾶς. | 4 |
| » Η. Μακρῆς. | 1 |
| » Δ. Λοβέρδος. | 1 |
| » Δ. Μαντζ. Ῥόζος. | 1 |
| » Η. Κοντογούρης. | 1 |
| » Δ. Μητάκης. | 1 |
| » Σ. Πεφάνης. | 1 |
| » Σ. Ζερβ. Παπαδάτος, | 1 |
| Ἱερομ. Συμ. Βολτέρας. | 1 |
| Ἱερεύς. Γ. Σημάτος. | 2 |
| » Δ. Δαυῆς. | 1 |
| » Κ. Μοραΐτης. | 1 |
| » Ι. Χοϊδᾶς | 1 |
| Ἱερομ. Σ. Κομητόπουλος. | 1 |
| Ἱερεύς Ι. Κασημάτης. | 1 |
| » Ζ. Ταραζῆς. | 1 |
| » Γ. Χ. Ῥακαντζῆς. | 2 |
| Εὐλαβέστ. Ἱεροδιάκονοι | |
| Ἀρχιδ. Γ. Κ. Μαγκίνας | 1 |
| Ἱεροδ. Γ. Τζανετάτος | 1 |
| » Χ. Ι. Γιαννᾶς | 1 |
| » Ζ. Λοβέρδος | 1 |
| » Γ. Σαρλος | 1 |
| » Δ. Κασημάτης | 1 |

| | Ἀντίτ. |
|---|---|
| Ἀξιότιμοι Κύριοι. | |
| Π. Ποταμιάνος | 4 |
| Ι. Γ. Τζημάρας | 1 |
| Α. Ποταμιάνος | 1 |
| Χ. Π Ἀνδαθινόπουλος | 1 |
| Π. Σ. Ῥαυτόπουλος | 1 |
| Π. Ι. Ζερβὸς Τζανετάτος | 1 |
| Α. Ε. Πασχος | 1 |
| Κ. Προκόπης | 1 |
| Σ. Θιακός. | 1 |
| Γ. Πετσάλης | 1 |
| Π. Βινιεράτος | 1 |
| Χ. Π. Μακρῆς | 1 |
| Γ. Ῥαζῆς | 1 |
| Π. Ζύγουρας | 1 |
| Ν. Γ. Φωκᾶς. | 1 |
| Μ. Κλίμης. | 1 |
| Γ. Παπαγεωργόπουλος. | 1 |
| Π. Δαυῆς. | 1 |
| Ν. Λαμπήρης | 1 |
| Α. Δ. Μαρκάτος | [illegible] |
| Α. Εὐαγ. Ῥαζῆς | 1 |
| Η. Κοσμάτος | 1 |
| Γ. Παυλάτος | 1 |
| Δ. Θ. Μανιάτης | 1 |
| Γ. Ταμβάκης | 1 |
| Ν. Νεόφυτος | 1 |
| Α. Βερονίκης | 1 |
| Θ. Δρακόπουλος | 1 |
| Α. Κανάκης | 1 |
| Φ. Ῥηγάτος | 1 |

| | Ἀντίτ. |
|---|---|
| Ἱερών. Μ. Βανδῶρος | 1 |
| Α. Στ. Μαζαράκης | » |
| Γ. Κ. Καλόγοιρος | » |
| Α. Προκόπης | » |
| Δ. Γ. Μαντζαβῖνος | » |
| Γ. Ε. Βρυώνης | » |
| Α. Ῥένεσις | » |
| Γ. Βαλεντῆς | » |
| Κ. Τζουγανάτος | » |
| Γ. Γαλιατσάτος | » |
| Ν. Σολομός | » |
| Π. Γιαννουλάτος | » |
| Γ. Ψαρὸς | » |
| Χ. Χαράκτης | » |
| Σ. Γιανουλάτος | » |
| Ἱερών. Καροῦσος | » |
| Π. Α. Φωκᾶς | » |
| Π. Π. Γρακόπουλος | » |
| Στ. Ἀγ. Φραγκόπουλος | » |
| Ι. Ξανθόπουλος | » |
| Ι. Σ. Μαζαράκης | » |
| Χ. Α. Ῥαζῆς | » |
| Α. Θεοφυλάτος | » |
| Δ. Καλάβριος | » |
| Χ. Λυβαθινόπουλος | » |
| Ν. Γιανουλάτος | 2 |
| Δ. Ῥαζῆς | 1 |
| Σ. Δεσύλας | » |
| Γ. Γερμενῆς | » |
| Η. Ῥοσόλυμος | » |
| Ἰω. Τζιμάρας | » |
| Γ. Ῥαζῆς | » |
| Π. Βελισαράτος | » |
| Π. Βανδῶρος | » |
| Ι. Κονιδάρης | » |
| Γερ. Ῥαζῆς | » |
| Π. Μπαλτζαβιᾶς | » |
| Στ. Λούζης | » |
| Ν. Βαβάσης. | » |
| Ν. Λυκούδης | » |
| Δρ. Χ. Μ. Βανδῶρος | 2 |
| Σ. Σολομός | 1 |
| Σ. Μ. Σαράντης | 2 |

| | Ἀντίτ. |
|---|---|
| Β. Π. Καρύδης | 2 |
| Χ. Δ. Χέλμης | 1 |
| Γ. Μ. Δαλωνᾶς | 1 |
| Π. Φ. Α. Χοϊδᾶς | 2 |
| Εὐαγ. Ἀναγ. Κακουράτος | 1 |
| Π. Βιτζεντζάτος | » |
| Σ. Π. Πολλάνης | » |
| Ι. Ἱερ. Δ. Σιμωτᾶς | » |
| Ν. Κ. Σφαέλος | » |
| Π. Λυβαθινόπουλος | 2 |
| Ι. Σ. Ζυγομαλᾶς | 1 |
| Α. Σ. Μαζαράκης | » |
| Γ. Μ. Φραγκισκάτος | » |
| Ε. Χ. Λυβαθινόπουλος | » |
| Μ. Μεταξᾶς | » |
| Π. Ἀναγ Παπαντωνάτος | » |
| Π. Ῥαζῆς | » |
| Μ. Ἀντ. Ἀναγ. Εὐαγγελάτος | » |
| Γ. Π. Παπαγεωργόπουλος | » |
| Ν. Ἀναγ. Γ. Λουρεντζάτος | » |
| Δ. Ὀν. Καβαδίας | 2 |
| Π. Θ. Θεοφυλάτος | 1 |
| Χαρ. Ἀναγ. Μαγκληβέρας | » |
| Ἀντ. Ἀναγ. Βεργωτῆς | » |
| Μ. Εὐς. Πινιατόρος | 3 |
| Σ. Α. Μονόπωλης | 1 |
| Μ. Γαλιατζάτος | » |
| Α. Κόμ. Δαλλαδέτζιμας | 2 |
| Α. Α. Μολεζίνης | 1 |
| Κ. Π. Χωραφᾶς | » |
| Κ. Π. Πολλάνης. | » |

Ἀξιότιμαι Κυρίαι.

| | |
|---|---|
| Δ. χήρα Μ. Δαλωνᾶ | 1 |
| Μ. Ν. Δαυῆ | » |
| Διαμ. Αὐλάμη | 2 |
| Αἰκ. Σ Χωραφᾶ | 1 |
| Ἄρτεμ. Ποταμιάνο | » |
| Ἐλ. Ξανθὸ | » |
| Ῥεγ. Ι. Καβαδία | » |